63. τῶνδε: points to the sons of Pericles then present. Protagoras speaks in defence of his pupils, although compelled to admit the truth of what Socrates has said concerning them in 319 e. — Protagoras began his discourse with the commendation of his own teaching, having previously, before Socrates and Hippocrates, extolled the profession of the sophists; he closes it with a justification of his course in receiving compensation, and a complimentary allusion to his pupils. Grote (Plato II. 45 f.) considers this discourse one of the best parts of the Platonic writings, as an exposition of the growth and propagation of 'common sense' among a community.

XVII. 1. ἐπιδειξάμενος: Socrates humorously refers to Protagoras's speech as made for display, *cf.* 347 b.

St. p. 328.

μενος ἀπεπαύσατο τοῦ λόγου. καὶ ἐγὼ ἐπὶ μὲν πολὺν χρόνον κεκηλημένος ἔτι πρὸς αὐτὸν ἔβλεπον ὡς ἐροῦντά τι, ἐπιθυμῶν ἀκούειν· ἐπεὶ δὲ δὴ ᾐσθόμην, ὅτι τῷ ὄντι πεπαυμένος εἴη, μόγις πως ἐμαυτὸν ὥσπερεὶ συναγείρας εἶπον, βλέψας πρὸς τὸν Ἱπποκράτη· Ὦ παῖ Ἀπολλοδώρου, ὡς χάριν σοι ἔχω ὅτι προὔτρεψάς με ὧδε ἀφικέσθαι· πολλοῦ γὰρ ποιοῦμαι ἀκηκοέναι ἃ ἀκήκοα Πρωταγόρου. ἐγὼ γὰρ ἐν μὲν τῷ ἔμπροσθεν χρόνῳ ἠγούμην οὐκ εἶναι ἀνθρωπίνην ἐπιμέλειαν, ᾗ ἀγαθοὶ οἱ ἀγαθοὶ γίγνονται· νῦν δὲ πέπεισμαι. πλὴν σμικρόν τί μοι ἐμποδών, ὃ δῆλον ὅτι Πρωταγόρας ῥᾳδίως ἐπεκδιδάξει, ἐπειδὴ καὶ τὰ πολλὰ ταῦτα ἐξεδίδαξε. καὶ γὰρ εἰ μέν τις περὶ αὐτῶν τούτων συγγένοιτο ὁτῳοῦν τῶν δημηγόρων, τάχ' ἂν καὶ 329
d τούτου τοιούτους λόγους ἀκούσειεν, ἢ Περικλέους ἢ ἄλλου τινὸς τῶν ἱκανῶν εἰπεῖν· εἰ δὲ ἐπανέροιτό τινά τι, ὥσπερ

2. ἐπὶ μὲν πολὺν χρόνον: const. with ἔτι ἔβλεπον. · *Cf.* 345 c, *Legg.* i. 646 c ἐπὶ πολλὰς ἡμέρας.

3. ὡς ἐροῦντά τι: Protagoras might have added further remarks quite as relevant as those with which he actually concluded.

4. τῷ ὄντι: *in reality*; for this dat. of manner, see H. 779 b.

6. ὦ παῖ Ἀπολλοδώρου: *cf.* 335 d. An address of this kind always has something solemn and formal.

7. ὧδε: *hither*; *cf.* Photius *lex. s.v.* καὶ Πλάτων που κέχρηται ἀντὶ τοῦ δεῦρο καὶ ἐνθάδε. Elsewhere it is found with this meaning only in the poets or late authors.

8. πολλοῦ ποιοῦμαι: usually περὶ πολλοῦ (*cf. Crito* 48 e) or πρὸ πολλοῦ (*cf.* Isocr. v. 14). See G. 178; H. 746 a.

11. σμικρόν τι: note the irony of Socrates. The *little point* proves forthwith to be a central point in the investigation. — δῆλον ὅτι: see on 324 a, l. 19. 329 a

12. τὰ πολλά: a touch of sarcasm at the long speech of Protagoras.

13 ff. "A popular orator could also deliver a discourse like that of Protagoras, but, after that, in defending himself, and in entering into the exposition of single points when questioned, he would be as powerless as a book, and would on the slightest question deliver immediately another long discourse, as a brazen pot when struck keeps up a long reverberation."

16. εἰπεῖν: frequent in similar connections for λέγειν. *Cf. Gorg.* 456 c 329 a
ἀλλ' εἰρήσθω ὃν τὸν εἰπεῖν δυνατόν (*the man of ability in speaking*), εἰ βούλοιτο. — ὥσπερ βιβλία κτλ.: "They can only make speeches, they cannot defend a position" (ἐρωτᾶν καὶ ἀνταπορεῖσθαι, *i.e.* διαλέγεσθαι *Crat.* 390 c). *Cf. Phaedr.* 275 d δεινὸν γάρ που τοῦτ' ἔχει γραφή,

St. p. 329

βιβλία οὐδὲν ἔχουσιν οὔτε ἀποκρίνασθαι οὔτε αὐτοὶ ἐρέσθαι, ἀλλ' ἐάν τις καὶ σμικρὸν ἐπερωτήσῃ τι τῶν ῥηθέντων ὥσπερ τὰ χαλκία πληγέντα μακρὸν ἠχεῖ καὶ ἀποτείνει, ἐὰν μὴ ἐπιλάβηταί τις, καὶ οἱ ῥήτορες οὕτω σμικρὰ ἐρωτηθέντες δόλιχον κατατείνουσι τοῦ λόγου. Πρωταγόρας δὲ ὅδε ἱκανὸς μὲν μακροὺς λόγους καὶ καλοὺς εἰπεῖν, ὡς αὐτὸ δηλοῖ, ἱκανὸς δὲ καὶ ἐρωτηθεὶς ἀποκρίνασθαι κατὰ βραχὺ καὶ ἐρόμενος περιμεῖναί τε καὶ ἀποδέξασθαι τὴν ἀπόκρισιν, ἃ ὀλίγοις ἐστὶ παρεσκευασμένα. νῦν οὖν, ὦ Πρωταγόρα, σμικροῦ τινος ἐνδεής εἰμι πάντ' ἔχειν, εἴ μοι ἀποκρίναιο τόδε. τὴν ἀρετὴν φῂς διδακτὸν

329 a καὶ ὡς ἀληθῶς ὅμοιον ζωγραφίᾳ (*the art of painting*)· καὶ γὰρ τὰ ἐκείνης ἔκγονα ἕστηκε μὲν ὡς ζῶντα, ἐὰν δ' ἀνέρῃ τι, σεμνῶς πάνυ σιγᾷ. ταὐτὸν δὲ καὶ οἱ λόγοι· δόξαις μὲν ἂν ὥς τι φρονοῦντας αὐτοὺς λέγειν, ἐὰν δέ τι ἔρῃ τῶν λεγομένων βουλόμενος μαθεῖν, ἕν τι σημαίνει μόνον ταὐτὸν ἀεί. *Cf.* also below, 336 b f., 347 e ff.

20. ἀποτείνει: freq. intrans. as here. *Cf. Gorg.* 458 b καὶ νῦν ἴσως πόρρω ἀποτενοῦμεν. More often with τὸν λόγον, μακροὺς λόγους and the like. *Cf.* 335 c, 336 c, 361 a. — καὶ οὕτω: we should expect οὕτω καί, but thus also *Rep.* i. 354 b ἀλλ' ὥσπερ οἱ λίχνοι τοῦ αἰεὶ παραφερομένου ἀπογεύονται ἁρπάζοντες (*but just as epicures hurriedly taste of every dish successively placed before them*), καὶ ἐγώ μοι δοκῶ οὕτω ὁρμῆσαι (*to have hastened on*), ix. 585 a ὥσπερ πρὸς μέλαν φαιὸν ἀποσκοποῦντες, πρὸς τὸ ἧττον οὕτω λύπην ἀφορῶντες ἀπατῶνται *as though regarding gray as white in comparison with black, so regarding the absence of pain as pleasure in comparison with pain, they are deceived.*

21. δόλιχον: (from δολιχός) *the long course.* "They reply in a speech of endless length." The δόλιχος was the severest of all the foot-races; in it the length of the stadium was traversed twelve times, at least, and perhaps twenty or even twenty-four times. The Spartan Ladas, victorious in this race, fell dead at the goal. *Cf.* 335 e τῶν δολιχοδρόμων τῳ. Phocion uses a similar figure (*cf.* Plutarch *Phoc.* 23) καλῶς πρὸς τὸ στάδιον (παρεσκευᾶσθαι δοκοῦσιν), τὸν δὲ δόλιχον τοῦ πολέμου φοβοῦμαι, so also the comic poet Epicrates (Meineke *Com. Gr.* iii. 366) ἐπεὶ δὲ δόλιχον τοῖς ἔτεσιν ἤδη τρίχει.

23. ὡς αὐτὸ δηλοῖ: see on 324 a.

25. ἃ: refers to ἐρωτηθεὶς ἀποκρίνασθαι κτλ.

26. σμικροῦ κτλ.: *cf. Euthyphro* 13 a ἀλλὰ σμικροῦ τινος ἔτι ἐνδεής εἰμι. The inf. πάντ' ἔχειν depends upon ἐνδεής εἰμι, *cf. Crat.* 432 d ἢ οὐκ αἰσθάνει ὅσου ἐνδέουσιν αἱ εἰκόνες (*how far the images fall short*) ταὐτὰ ἔχειν ἐκείνοις ὧν εἰκόνες εἰσίν; *Lys.* 204 e πολλοῦ δεῖ τὸ εἶδος ἀγνοεῖν τοῦ παιδός. Since, however, here the sense is that of πάντ' ἂν ἔχοιμι, the corresponding cond. form εἴ μοι ἀποκρίναιο τόδε follows.

27. φῂς: implies assertion, not argument; as does the following πειθοίμην ἄν.

St. p. 329

εἶναι, καὶ ἐγώ, εἴ περ ἄλλῳ τῳ ἀνθρώπων, πειθοίμην ἂν καὶ σοί. ὃ δ' ἐθαύμασά σου λέγοντος, τοῦτό μοι ἐν τῇ ψυχῇ ἀποπλήρωσον. ἔλεγες γὰρ ὅτι ὁ Ζεὺς τὴν δικαιοσύνην καὶ τὴν αἰδῶ πέμψειε τοῖς ἀνθρώποις, καὶ αὖ πολλαχοῦ ἐν τοῖς λόγοις ἐλέγετο ὑπὸ σοῦ ἡ δικαιοσύνη καὶ σωφροσύνη καὶ ὁσιότης καὶ πάντα ταῦτα ὡς ἕν τι εἴη συλλήβδην, ἀρετή. ταῦτ' οὖν αὐτὰ δίελθέ μοι ἀκριβῶς τῷ λόγῳ, πότερον ἓν μέν τί ἐστιν ἡ ἀρετή, μόρια δὲ αὐτῆς ἐστὶν ἡ δικαιοσύνη καὶ σωφροσύνη καὶ ὁσιότης, ἣ ταὐτ' ἐστὶν ἃ νῦν δὴ ἐγὼ ἔλεγον πάντα ὀνόματα τοῦ αὐτοῦ ἑνὸς ὄντος. τοῦτ' ἐστὶν ὃ ἔτι ἐπιποθῶ.

XVIII. Ἀλλὰ ῥᾴδιον τοῦτό γ', ἔφη, ὦ Σώκρατες, ἀποκρίνασθαι, ὅτι ἑνὸς ὄντος, τῆς ἀρετῆς, μόριά ἐστιν ἃ ἐρωτᾷς. Πότερον, ἔφην, ὥσπερ προσώπου τὰ μόρια μόριά ἐστι, στόμα τε καὶ ῥὶς καὶ ὀφθαλμοὶ καὶ ὦτα, ἢ ὥσπερ

329 b 28. εἴ περ ἄλλῳ τῳ: *cf.* 352 c, *Phaedo* 67 b ἐκεῖ ἱκανῶς, εἴπερ που ἄλλοθι (i.e. *if anywhere*), κτήσασθαι τοῦτο, 63 c εὖ ἴστε, ὅτι, εἴπερ τι ἄλλο τῶν τοιούτων, διισχυρισαίμην (*affirm confidently*) ἂν καὶ τοῦτο. So almost always. Very rarely has εἴπερ a verb of its own, as *Meno* 98 b ἀλλ' εἴπερ τι ἄλλο φαίην ἂν εἰδέναι, ὀλίγα δ' ἂν φαίην, ἓν δ' οὖν καὶ τοῦτο ἐκείνων θείην ἂν ὧν οἶδα (*this, at any rate, I would put down as one of the things that I know*).

c 29. ὃ δ' ἐθαύμασα κτλ.: *cf. Apol.* 17 a μάλιστα δ' αὐτῶν ἓν ἐθαύμασα.

30. τὴν δικαιοσύνην, αἰδῶ: *cf.* 322 c δίκην καὶ αἰδῶ.

32. πολλαχοῦ: *cf.* 323 a c, 325 a. — If the different virtues form together only one and the same, *viz.* virtue, this fails to harmonize (αὖ) with the representation that Zeus sent to men σωφροσύνη and αἰδώς as two different virtues. — ἡ δικαιοσύνη κτλ.: placed emphatically before ὁσ, *cf.* Thuc. iii. 5 οἱ δ' ἐκ τῶν Ἀθηνῶν πρίσβεις ὡς οὐδὲν ἦλθον πράξαντες, ὡς πόλεμον καθίστασαν οἱ Μυτιληναῖοι. 329 d

35. The following argument upon the unity of the virtues is intended mainly to show that Protagoras has maintained their diversity, without having clearly thought out the matter. Socrates's request looks towards the definition, which would naturally have been given at the outset; see on 320 b.

d 38. ἑνὸς ὄντος: repeated from above.

XVIII. 3. Socrates asks whether the particular virtues differ qualitatively or quantitatively; in their nature, or only in the degree and amount of the virtue contained in them. — πότερον: *sc.* ταῦτα μόρια ἐστιν.

St. p. 32

λέγω, οἰόμενος οὕτω τὸν λόγον βέλτιστ' ἂν ἐλέγχεσθαι, εἴ τις τὸ εἶ ἀφέλοι αὐτοῦ. Ἀλλὰ μέντοι, ἦ δ' ὅς, προσ- c
εοικέ τι δικαιοσύνη ὁσιότητι· καὶ γὰρ ὁτιοῦν ὁτῳοῦν ἀμῇ γέ πῃ προσέοικε. τὸ γὰρ λευκὸν τῷ μέλανι ἔστιν
ὅπῃ προσέοικε, καὶ τὸ σκληρὸν τῷ μαλακῷ, καὶ τἆλλα ἃ δοκεῖ ἐναντιώτατα εἶναι ἀλλήλοις. καὶ ἃ τότε ἔφαμεν
ἄλλην δύναμιν ἔχειν καὶ οὐκ εἶναι τὸ ἕτερον οἷον τὸ ἕτε-
ρον, τὰ τοῦ προσώπου μόρια, ἀμῇ γέ πῃ προσέοικε καὶ ἔστι τὸ ἕτερον οἷον τὸ ἕτερον· ὥστε τούτῳ γε τῷ τρόπῳ
κἂν ταῦτα ἐλέγχοις, εἰ βούλοιο, ὡς ἅπαντά ἐστιν ὁμοῖα ἀλλήλοις. ἀλλ' οὐχὶ τὰ ὁμοίόν τι ἔχοντα ὁμοῖα δίκαιον d
καλεῖν, οὐδὲ τὰ ἀνόμοιόν τι ἔχοντα ἀνόμοια, κἂν πάνυ σμικρὸν ἔχῃ. Καὶ ἐγὼ θαυμάσας εἶπον πρὸς αὐτόν, Ἦ
γὰρ οὕτω σοι τὸ δίκαιον καὶ τὸ ὅσιον πρὸς ἄλληλα ἔχει,
ὥστε ὁμοῖόν τι σμικρὸν ἔχειν ἀλλήλοις; Οὐ πάνυ, ἔφη, 331
οὕτως, οὐ μέντοι οὐδὲ αὖ ὡς σύ μοι δοκεῖς οἴεσθαι. Ἀλλὰ μήν, ἔφην ἐγώ, ἐπειδὴ δυσχερῶς δοκεῖς μοι ἔχειν b
πρὸς τοῦτο, τοῦτο μὲν ἐάσωμεν, τόδε δὲ ἄλλο ὧν ἔλεγες ἐπισκεψώμεθα.

XX. Ἀφροσύνην τι καλεῖς; Ἔφη. Τούτῳ τῷ πράγματι οὐ πᾶν τοὐναντίον ἐστὶν ἡ σοφία; Ἔμοιγε δοκεῖ, ἔφη. c

331 d 34. ἔστιν ὅπῃ: *in a certain way.* In these adv. expressions the verbal force of *ἔστιν* has ceased to be felt.

40. ταῦτα: *viz. τὰ τοῦ προσώπου μόρια.* But to say this, would be senseless.

e 42. *κἂν τάνυ κτλ.*: *i.e.* "this likeness or unlikeness cannot, when but a minimum, yet give its name to the objects."

46. *οὐ μέντοι οὐδέ*: a freq. doubling of negs. *Cf.* Xen. *An.* i. 3. 20 *καὶ οὔθ' ἵππου οὔθ' ὁπλίτου ταῦτ' ἔφασαν ἔφυσαν, οὔθ' ἅλλος δὲ ὁτιοῦν οὐδενὸς οὐδέν.* See G. 263, 9; H. 1030. — Protagoras having thus renounced his own position and rejected that of Socrates, has effectually blocked the argument. 332 c

XX. 1. ἔφη: see on 330 d. — The proof that *σοφία* and *σωφροσύνη* must coincide, because they are both the contrary of the concept *ἀφροσύνη*, rests simply on the indefiniteness of the concept *ἀφροσύνη*. It must be admitted that Plato was entirely conscious of this, but intentionally lets Socrates confuse and vanquish the sophists with their own weapons. See on 329 e. 332 a

St. p. 332

Πότερον δὲ ὅταν πράττωσιν ἄνθρωποι ὀρθῶς τε καὶ ὠφε-
λίμως, τότε σωφρονεῖν σφᾶς δοκοῦσιν οὕτω πράττοντες, b
ἢ τοὐναντίον; Σωφρονεῖν, ἔφη. Οὐκοῦν σωφροσύνῃ σω-
φρονοῦσιν; Ἀνάγκη. Οὐκοῦν οἱ μὴ ὀρθῶς πράττοντες
ἀφρόνως πράττουσι καὶ οὐ σωφρονοῦσιν οὕτω πράττον-
τες; Συνδοκεῖ μοι, ἔφη. Τοὐναντίον ἄρα ἐστὶ τὸ ἀφρό-
νως πράττειν τῷ σωφρόνως; Ἔφη. Οὐκοῦν τὰ μὲν ἀφρό-
νως πραττόμενα ἀφροσύνῃ πράττεται, τὰ δὲ σωφρόνως
σωφροσύνῃ; Ὡμολόγει. Οὐκοῦν εἴ τι ἰσχύι πράττεται, ἰσχυρὸν πράττεται, καὶ εἴ τι ἀσθενείᾳ, ἀσθενῶς; Ἐδόκει. e
Καὶ εἴ τι μετὰ τάχους, ταχέως, καὶ εἴ τι μετὰ βραδυ-
τῆτος, βραδέως; Ἔφη. Καὶ εἴ τι δὴ ὡσαύτως πράττε-
ται, ὑπὸ τοῦ αὐτοῦ πράττεται, καὶ εἴ τι ἐναντίως, ὑπὸ
τοῦ ἐναντίου; Συνέφη. Φέρε δή, ἦν δ' ἐγώ, ἔστι τι κα-
λόν; Συνεχώρει. Τούτῳ ἔστι τι ἐναντίον πλὴν τὸ αἰ-
σχρόν; Οὐκ ἔστιν. Τί δέ; ἔστι τι ἀγαθόν; Ἔστιν. Τού-
τῳ ἔστι τι ἐναντίον πλὴν τὸ κακόν; Οὐκ ἔστιν. Τί δέ;
ἔστι τι ὀξὺ ἐν φωνῇ; Ἔφη. Τούτῳ μὴ ἔστι τι ἐναντίον
ἄλλο πλὴν τὸ βαρύ; Οὐκ ἔφη. Οὐκοῦν, ἦν δ' ἐγώ, ἑνὶ d
ἑκάστῳ τῶν ἐναντίων ἓν μόνον ἐστὶν ἐναντίον καὶ οὐ
πολλά; Συνωμολόγει. Ἴθι δή, ἦν δ' ἐγώ, ἀναλογισώμεθα
τὰ ὡμολογημένα ἡμῖν. ὡμολογήκαμεν ἓν ἑνὶ μόνον ἐναν-
τίον εἶναι, πλείω δὲ μή; Ὡμολογήκαμεν. Τὸ δὲ ἐναν-
τίως πραττόμενον ὑπὸ ἐναντίων πράττεσθαι; Ἔφη. Ὡμο-
λογήκαμεν δὲ ἐναντίως πράττεσθαι ὃ ἂν ἀφρόνως πρά-
ττηται τῷ σωφρόνως πραττομένῳ; Ἔφη. Τὸ δὲ σωφρόνως e

332 b 4. οὕτω πράττοντες: *in acting thus*; not a mere repetition of *ὅταν πράττωσιν*. *Cf. ὅτι ἀδικεῖ* 333 b.

5. ἢ τοὐναντίον: *i.e. ἀφρόνως πράττειν.*

e 20. ὀξύ: *high* in tone.

23. ἀναλογισώμεθα: think over again, *recapitulate*. *Cf. Rep.* x. 618 c *ἀναλογιζόμενον πάντα τὰ νῦν δὴ ῥηθέντα.* The more common word for the thought with Plato is *ἀνομολογεῖσθαι.* 333 d

St. p. 332

πραττόμενον ὑπὸ σωφροσύνης πράττεσθαι, τὸ δὲ ἀφρόνως
ὑπὸ ἀφροσύνης; Συνεχώρει. Οὐκοῦν εἴ περ ἐναντίως
πράττεται, ὑπὸ ἐναντίου πράττοιτ' ἄν; Ναί. Πράττεται
δὲ τὸ μὲν ὑπὸ σωφροσύνης, τὸ δὲ ὑπὸ ἀφροσύνης; Ναί.
Ἐναντίως; Πάνυ γε. Οὐκοῦν ὑπὸ ἐναντίων ὄντων; Ναί.
Ἐναντίον ἄρ' ἐστὶν ἀφροσύνη σωφροσύνῃ; Φαίνεται. Μέ-
μνησαι οὖν ὅτι ἐν τοῖς ἔμπροσθεν ὡμολόγηται ἡμῖν ἀφρο-
σύνῃ σοφίᾳ ἐναντίον εἶναι; Συνωμολόγει. Ἐν δὲ ἑνὶ μό-
νον ἐναντίον εἶναι; Φημί. Πότερον οὖν, ὦ Πρωταγόρα,
λύσωμεν τῶν λόγων; τὸ ἓν ἑνὶ μόνον ἐναντίον εἶναι ἢ 333
ἐκεῖνον ἐν ᾧ ἐλέγετο ἕτερον εἶναι σωφροσύνης σοφία,
μόριον δὲ ἑκάτερον ἀρετῆς, καὶ πρὸς τῷ ἕτερον εἶναι καὶ
ἀνόμοια καὶ αὐτὰ καὶ αἱ δυνάμεις αὐτῶν, ὥσπερ τὰ τοῦ
προσώπου μόρια; πότερον οὖν δὴ λύσωμεν; οὗτοι γὰρ οἱ
λόγοι ἀμφότεροι οὐ πάνυ μουσικῶς λέγονται· οὐ γὰρ
συνᾴδουσιν οὐδὲ συναρμόττουσιν ἀλλήλοις. πῶς γὰρ ἂν
συνᾴδοιεν, εἴ πέρ γε ἀνάγκη ἑνὶ μὲν ἓν μόνον ἐναντίον
εἶναι, πλείω δὲ μή, τῇ δὲ ἀφροσύνῃ, ἑνὶ ὄντι, σοφία ἐναν- b

332 e 33. ἐναντίως; πάνυ γε: repeats, but with emphasis, what has already been said.

36. *Cf.* 332 a.

333 a 38. τό: const. with the following clause. *Cf.* τὸ εἰ βούλει 331 c, l. 29. Similarly τό is used with the inf. as epexegesis of substa. *Cf. Phaedo* 92 a ἅπερ μείζη ἥδε ἡ οἴησις, τὸ ἁρμονίαν μὲν εἶναι ξύνθετον πρᾶγμα, 94 b εἰ ὀρθὴ ἡ ὑπόθεσις ἦν, τὸ ψυχὴν ἁρμονίαν εἶναι.

40. πρὸς τῷ εἶναι: *besides being. Cf. Phaedr.* 252 a πρὸς γὰρ τῷ σίβεσθαι ἰατρὸν εὑρηκε μόνον τῶν μεγίστων πόνων *for besides his worship, he has found the only physician to heal his sharpest pangs,* 270 a ὃ καὶ Περικλῆς πρὸς τῷ εὐφυὴς εἶναι ἐκτήσατο.

41. ἀνόμοια: pred., *sc.* λέγοντο εἶναι.

43. μουσικῶς: the comparison of conflicting statements with discordant tones, and the reverse, is not uncommon. *Cf. Phaedo,* 92 c οὗτος οὖν σοι ὁ λόγος ἐκείνῳ πῶς ξυνᾴσεται; καὶ μὴν πρέπει γε εἴπερ τῳ ἄλλῳ λόγῳ ξυνῳδῷ εἶναι καὶ τῷ περὶ ἁρμονίας (*and certainly, if any doctrine should be harmonious, that should be which relates to harmony*), *Lach.* 188 d. 333 a

45. ἑνί: to this ἀφροσύνη corresponds in the following words; to ἕν, the noms. σοφία and σωφροσύνη, which are not ἕν, but πλείω. Plato therefore must have written πλείω, not the πλείοσι of the Mss.

46. ὄντι: attracted from the fem. b by the neut. ἑνί. *Cf.* 354 c τὴν ἡδονὴν ὡς ἀγαθὸν ὄν. See H. 610.

St. p. 333.

τία καὶ σωφροσύνη αὖ φαίνεται; ἦ γάρ, ὦ Πρωταγόρα;
ἔφην ἐγώ, ἢ ἄλλως πως; Ὡμολόγησε καὶ μάλ' ἀκόντως.
Οὐκοῦν ἓν ἂν εἴη ἡ σωφροσύνη καὶ ἡ σοφία; τὸ δὲ πρό-
τερον αὖ ἐφάνη ἡμῖν ἡ δικαιοσύνη καὶ ἡ ὁσιότης σχεδόν
τι ταὐτὸν ὄν. ἴθι δή, ἦν δ' ἐγώ, ὦ Πρωταγόρα, μὴ ἀπο-
κάμωμεν, ἀλλὰ καὶ τὰ λοιπὰ διασκεψώμεθα. ἆρά τίς σοι
δοκεῖ ἀδικῶν ἄνθρωπος σωφρονεῖν, ὅτι ἀδικεῖ; Αἰσχυνοίμην c
ἂν ἔγωγ', ἔφη, ὦ Σώκρατες, τοῦτο ὁμολογεῖν, ἐπεὶ πολλοί
γέ φασι τῶν ἀνθρώπων. Πότερον οὖν πρὸς ἐκείνους τὸν
λόγον ποιήσωμαι, ἔφην, ἢ πρὸς σέ; Εἰ βούλει, ἔφη, πρὸς
τοῦτον πρῶτον τὸν λόγον διαλέχθητι τὸν τῶν πολλῶν.
Ἀλλ' οὐδέν μοι διαφέρει, ἐὰν μόνον σύ γε ἀποκρίνῃ, εἴτ'
οὖν δοκεῖ σοι ταῦτα εἴτε μή. τὸν γὰρ λόγον ἔγωγε μά-
λιστα ἐξετάζω, συμβαίνει μέντοι ἴσως καὶ ἐμὲ τὸν ἐρω-
τῶντα καὶ τὸν ἀποκρινόμενον ἐξετάζεσθαι.

XXI. Τὸ μὲν οὖν πρῶτον ἐκαλλωπίζετο ἡμῖν ὁ Πρωταγό- d
ρας· τὸν γὰρ λόγον ἠτιᾶτο δυσχερῆ εἶναι· ἔπειτα μέντοι
συνεχώρησεν ἀποκρίνεσθαι.

333 b 47. ἦ γάρ: *is it not so?* γάρ refers back to the preceding conclusion; and ἄλλως πως indicates that a general expression (like οὕτως ἔχει) is to be supplied. — καί: *and that, although.*

49. τὸ πρότερον: *cf.* 331 a b. The remarks of Protagoras 331 c–e do not merit notice by Socrates.

c 53. ὅτι: *in so far as. Cf.* 333 d ὅτι ἀδικοῦσιν, *Parm.* 155 e τὸ ἓν — ἆρ' οὐκ ἀνάγκη, ὅτι μὲν ἔστιν ἕν, οὐσίας μετέχειν ποτέ, ὅτι δ' οὐκ ἔστι, μὴ μετέχειν αὖ ποτὲ οὐσίας; *Symp.* 207 d δύναται δὲ ταύτῃ μόνον, τῇ γενέσει, ὅτι ἀεὶ καταλείπει ἕτερον νέον ἀντὶ τοῦ παλαιοῦ *and this is possible only in this way, by generation, in so far as it always leaves behind a new in place of the old.*

333 e 54. ἔγωγε: with strong emphasis, ἐπεί . . . ἀνθρώπων being antithetic. — ἐπεί: "although"; *cf.* 353 a.

57. τῶν πολλῶν: not *the majority,* but referring to the πολλοί above.

60. "It is unimportant who maintains a principle under consideration, provided the principle itself be scrutinized; still, in the scrutiny, the views of those who hold the principle are brought to the test."

XXI. 1. ἐκαλλωπίζετο: *pretended* d *to be coy. Cf. Phaedr.* 236 d ταῦτα πρός με καλλωπιζόμενος· σχεδὸν γὰρ ἔχω ὃ εἰπὼν ἀναγκάσω σε λέγειν. In 317 c above, the sense is *to plume himself.*

2. δυσχερῆ: *cf.* 333 a.

St. p. 334.

ἐντὸς ταὐτὸ τοῦτο κάκιστον· καὶ διὰ τοῦτο οἱ ἰατροὶ πάντες ἀπαγορεύουσι τοῖς ἀσθενοῦσι μὴ χρῆσθαι ἐλαίῳ, ἀλλ' ἢ ὅ τι σμικροτάτῳ ἐν τούτοις οἷς μέλλει ἔδεσθαι, ὅσον μόνον τὴν δυσχέρειαν κατασβέσαι τὴν ἐπὶ ταῖς αἰσθήσεσι ταῖς διὰ τῶν ῥινῶν γιγνομένην ἐν τοῖς σιτίοις τε καὶ ὄψοις.

XXII. Εἰπόντος οὖν ταῦτα αὐτοῦ οἱ παρόντες ἀνεθορύβησαν ὡς εὖ λέγοι. καὶ ἐγὼ εἶπον· Ὦ Πρωταγόρα, ἐγὼ τυγχάνω ἐπιλήσμων τις ὢν ἄνθρωπος, καὶ ἐάν τίς μοι μακρὰ λέγῃ, ἐπιλανθάνομαι, περὶ οὗ ἂν ᾖ ὁ λόγος. ὥσπερ οὖν, εἰ ἐτύγχανον ὑπόκωφος ὤν, ᾧου ἂν χρῆναι, εἴ περ ἐμελλές μοι διαλέξεσθαι, μεῖζον φθέγγεσθαι ἢ πρὸς τοὺς ἄλλους, οὕτω καὶ νῦν, ἐπειδὴ ἐπιλήσμονι ἐνέτυχες, σύντεμνέ μοι τὰς ἀποκρίσεις καὶ βραχυτέρας ποίει, εἰ μέλλω σοι ἕπεσθαι. Πῶς οὖν κελεύεις με βραχέα ἀποκρίνεσθαι; ἢ βραχύτερά σοι, ἔφη, ἀποκρίνωμαι ἢ δεῖ; Μηδαμῶς, ἦν δ' ἐγώ. Ἀλλ' ὅσα δεῖ; ἔφη. Ναί, ἦν δ' ἐγώ. Πότερα οὖν ὅσα ἐμοὶ δοκεῖ δεῖν ἀποκρίνεσθαι, τοσαῦτά σοι ἀποκρίνωμαι, ἢ ὅσα σοί; Ἀκήκοα γοῦν, ἦν δ' ἐγώ,

334 c προσέξει τὸν νοῦν (*the application of the mind*)? *Lach.* 190 b τοῖς υἱέσιν αὐτῶν ἀρετὴ παραγενομένη ταῖς ψυχαῖς.

35. μέλλει: for the change of number from ἀσθενοῦσι, see on 319 d.

36. ὅσον μόνον: equiv. to τοσούτῳ μόνον ὅσον. *Cf. Theaet.* 145 a ἆ οὖν ζωγραφικὴν Θεόδωρος; THEAET. οὐχ, ὅσον γέ με εἰδέναι. — Thus Protagoras's reply to the question δεινοῦσί τινές σοι συφροσυνῶν ἀδικοῦντες, ends somewhat wide of the mark, but gains the applause of the listeners. See on 338 d.

XXII. 2. ὡς: *how. Cf.* 315 b, l. 35, *Crito* 43 b τάλαι θαυμάζω αἰσθανόμενος ὡς ῥᾳδίως καθεύδουσι.

3. ἐπιλήσμων τις: τις indicates that the object approximately corresponds to the word; here *somewhat*. See on 313 c, l. 22. See H. 702 a.

4. ἐπιλανθάνομαι: *cf.* 336 d. This, which Socrates applies to himself, was true of the listeners. — περὶ οὗ ἂν κτλ.: *whatever we are talking about, i.e.* however weighty or trifling the topic may be. — ἄνωθεν οὖν, εἰ κτλ.: *cf. Apol.* 17 d ἄνωθεν οὖν ἐν, εἰ τῷ ὄντι ξένος ἐντύγχανον ὤν, συνεγιγνώσκετε δήπου ἂν μοι (*you would certainly indulge me*) εἰ ἐν ἐκείνῃ τῇ φωνῇ τε καὶ τῷ τρόπῳ ἔλεγον ἐν οἷσπερ ἐτεθράμμην (*in which I had been reared*), καὶ δὴ καὶ νῦν κτλ.

St. p. 334.

ὅτι σὺ οἷός τ' εἶ καὶ αὐτὸς καὶ ἄλλον διδάξαι περὶ τῶν αὐτῶν καὶ μακρὰ λέγειν, ἐὰν βούλῃ, οὕτως ὥστε τὸν λόγον μηδέποτε ἐπιλιπεῖν, καὶ αὖ βραχέα οὕτως ὥστε μηδένα σοῦ ἐν βραχυτέροις εἰπεῖν. εἰ οὖν μέλλεις ἐμοὶ 335 διαλέξεσθαι, τῷ ἑτέρῳ χρῶ τρόπῳ πρός με, τῇ βραχυλογίᾳ. Ὦ Σώκρατες, ἔφη, ἐγὼ πολλοῖς ἤδη εἰς ἀγῶνα λόγων ἀφικόμην ἀνθρώποις, καὶ εἰ τοῦτο ἐποίουν ὃ σὺ κελεύεις, ὡς ὁ ἀντιλέγων ἐκέλευέ με διαλέγεσθαι, οὕτω διελεγόμην, οὐδενὸς ἂν βελτίων ἐφαινόμην οὐδ' ἂν ἐγένετο Πρωταγόρου ὄνομα ἐν τοῖς Ἕλλησιν. Καὶ ἐγώ — ἔγνων γὰρ ὅτι οὐκ ἤρεσεν αὐτὸς αὑτῷ ταῖς ἀποκρίσεσι ταῖς ἔμπροσθεν, καὶ ὅτι οὐκ ἐθελήσοι ἑκὼν εἶναι ἀπο- b κρινόμενος διαλέγεσθαι — ἡγησάμενος οὐκέτι ἐμὸν ἔργον εἶναι παρεῖναι ἐν ταῖς συνουσίαις, Ἀλλά τοι, ἔφην, ὦ Πρωταγόρα, οὐδ' ἐγὼ λιπαρῶς ἔχω παρὰ τὰ σοὶ δοκοῦντα τὴν συνουσίαν ἡμῖν γίγνεσθαι, ἀλλ' ἐπειδὰν σὺ

334 c 14. καὶ αὐτὸς . . . διδάξαι: parenthetical.

15. μακρὰ λέγειν κτλ.: the sophists and rhetoricians boasted of their ability to speak on any subject as long or as briefly as one desired. *Cf.* 329 b, 335 b, *Phaedr.* 267 b Τισίαν δὲ Γοργίαν τε ἐάσωμεν εἶναι, οἳ συντομίας τε λόγων καὶ ἐκτεινα μήκη περὶ πάντων ἀνεῦρον (*invented*)? *Gorg.* 449 c καὶ γὰρ αὖ καὶ τοῦτο ἴσμεν ὅτι ἐστὶν ὃν φαμέν, μηδένα ἂν ἐν βραχυτέροις λόγου τὰ αὐτὰ εἰπεῖν. *Cf.* Anaximenes *Rhet.* 22.

335 a 19. ἀγῶνα: this conversation then was not a search for truth, but a contest for victory. *Cf. Gorg.* 456 d.

21. ὡς . . . διελεγόμην: added, without a copula, as an explanatory appos., to τοῦτο ἐποίουν. *Cf. Rep.* ii. 359 c εἰ τοιόνδε ποιήσαιμεν τῇ διανοίᾳ, δόντες ἐξουσίαν ἀναπολουθήσαιμεν, *Meno* 71 b καὶ αὐτὸς οὕτως ἔχω, συμπένομαι τοῖς 336 a πολίταις (*I share the poverty of the citizens*), τούτου τοῦ πράγματος, *Gorg.* 479 b κινδυνεύουσι τοιοῦτόν τι ποιεῖν καὶ οἱ τὴν δίκην φεύγοντες, τὸ ἀληγοῦν αὐτοῦ καθορᾶν those who *flee* from justice, seem to do the same sort of thing, (they seem) to see its *painful* side. A freq. usage.

22. οὐδενὸς βελτίων: see on 324 d. — ἐγένετο κτλ.: see on 327 d.

23. ὄνομα: *cf. Apol.* 38 c ὄνομα ἕξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων τὴν πόλιν λοιδορεῖν, 20 c οὐ γὰρ σοῦ γε οὐδὲν τῶν ἄλλων περιττότερον πραγματευομένου τοσαύτη φήμη καὶ λόγος γέγονεν, Xen. *An.* vii. 3. 19 παρὰ Ξενοφῶντι τὸ σὸν ὄνομα μέγιστόν ἐστι.

25. ἑκὼν εἶναι: see on 317 a. b

27. Ἀλλά τοι: in immediate reply to the declaration of Protagoras above, hence also οὐδ' ἐγώ neither *do I*.

St. p. 334

Σώκρατες· δίκαια δοκεῖ λέγειν Πρωταγόρας ἀξιῶν αὐτῷ τε ἐξεῖναι διαλέγεσθαι ὅπως βούλεται καὶ σοὶ ὅπως ἂν αὖ σὺ βούλῃ.

XXIII. Ὑπολαβὼν οὖν ὁ Ἀλκιβιάδης, Οὐ καλῶς λέγεις, ἔφη, ὦ Καλλία· Σωκράτης μὲν γὰρ ὅδε ὁμολογεῖ μὴ μετεῖναί οἱ μακρολογίας καὶ παραχωρεῖ Πρωταγόρᾳ, τοῦ δὲ διαλέγεσθαι οἷός τ' εἶναι καὶ ἐπίστασθαι λόγον τε δοῦναι καὶ δέξασθαι θαυμάζοιμ' ἂν εἰ τῳ ἀνθρώπων παραχωρεῖ. εἰ μὲν οὖν καὶ Πρωταγόρας ὁμολογεῖ φαυλότερος εἶναι Σωκράτους διαλεχθῆναι, ἐξαρκεῖ Σωκράτει· εἰ δὲ ἀντιποιεῖται, διαλεγέσθω ἐρωτῶν τε καὶ ἀποκρινόμενος, μὴ ἐφ' ἑκάστῃ ἐρωτήσει μακρὸν λόγον ἀποτείνων ἐκκρούων τοὺς λόγους καὶ οὐκ ἐθέλων διδόναι λόγον, ἀλλ' ἀπομηκύνων ἕως ἂν ἐπιλάθωνται περὶ ὅτου τὸ ἐρώτημα ἦν οἱ πολλοὶ τῶν ἀκουόντων, ἐπεὶ Σωκράτη γε ἐγὼ ἐγγυῶμαι μὴ ἐπιλήσεσθαι, οὐχ ὅτι παίζει καί φησιν ἐπιλήσμων εἶ-

336 b γε οὐκ ἂν ἔτι πείσαις ἀνθρώπων οὐδένα ὡς κτλ., Ar. *Pax* 331 ἀλλ' ὁρᾶτ', οὕτω πέπαυσθε; Plato *Crat.* 432 c ὁρᾷς οὖν ὅτι ἄλλην χρὴ εἰκότως ὀρθότητα (*principle of correctness*) ζητεῖν. Different is the interr. ὁρᾷς *do you see?* *Cf. Apol.* 24 d. ὁρᾷς, ὦ Μέλητε, ὅτι στιγᾷς καὶ οὐκ ἔχεις εἰπεῖν;

XXIII. 1. Ἀλκιβιάδης: *cf.* 309 b.

3. τοῦ: const. with εἶναι.

c 4. τέ: see on 325 b.

5. εἰ . . . παραχωρεῖ: *cf.* 315 e εἰ τυγχάνει ὤν.

7. ἀντιποιεῖται: *sc.* τοῦ κρείσσων εἶναι διαλεχθῆναι.

8. μή: and not οὐ, because const. with an imv. (equiv. to μηδὲ ἀποτεινέτω); but οὐκ ἐθέλων, because ἐκκρούων . . . λόγον gives the reasons for the ἀποτείνειν, as they actually exist.

9. ἐκκρούων: lit. *strike out* a weapon or a ball from one's hand, *thrust* one *out* of the way; then, *put to one side,* 334 c *frustrate,* always with the idea of violence. Here ἐκκρούων τοὺς λόγους means "frustrating the purpose," "defeating the result of the discussion." *Cf.* Arist. *Eth. N.* iii. 15 κἂν μεγάλαι καὶ σφοδραὶ ὦσι (αἱ ἐπιθυμίαι), καὶ τὸν λογισμὸν ἐκκρούουσιν, Dem. XL. 43 ἵνα ἀποδιαιτηθέντα μου λύσας ἐξ ἀρχῆς με συκοφαντῇ καὶ τὴν δίκην ταύτην ἐκκρούσῃ.

13. οὐχ ὅτι: *i.e.* οὐ λέγω ὅτι. *I do* d *not speak of the fact that;* or, in sense, *although.* Freq. in Plato. See on 319 d. — Nothing can ruffle Socrates's courtesy, but Plato puts into the mouth of the impetuous Alcibiades a plain and vigorous statement of what is already in the reader's mind. Prob. Alcibiades was an exception to the οἱ παρόντες ἀνεθορύβησαν 334 c.

St. p. 335

ναι. ἐμοὶ μὲν οὖν δοκεῖ ἐπιεικέστερα Σωκράτης λέγειν· χρὴ γὰρ ἕκαστον τὴν ἑαυτοῦ γνώμην ἀποφαίνεσθαι.

Μετὰ δὲ τὸν Ἀλκιβιάδην, ὡς ἐγῷμαι, Κριτίας ἦν ὁ εἰπών· Ὦ Πρόδικε καὶ Ἱππία, Καλλίας μὲν δοκεῖ μοι μάλα πρὸς Πρωταγόρου εἶναι, Ἀλκιβιάδης δὲ ἀεὶ φιλόνεικός ἐστι πρὸς ὃ ἂν ὁρμήσῃ. ἡμᾶς δὲ οὐδὲν δεῖ συμ- e φιλονεικεῖν οὔτε Σωκράτει οὔτε Πρωταγόρᾳ, ἀλλὰ κοινῇ ἀμφοτέρων δεῖσθαι μὴ μεταξὺ διαλῦσαι τὴν ξυνουσίαν.

Εἰπόντος δὲ αὐτοῦ ταῦτα ὁ Πρόδικος, Καλῶς μοι, 337 ἔφη, δοκεῖς λέγειν, ὦ Κριτία· χρὴ γὰρ τοὺς ἐν τοιοῖσδε λόγοις παραγιγνομένους κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν διαλεγομένοιν ἀκροατάς, ἴσους δὲ μή. ἔστι γὰρ οὐ ταὐτόν· κοινῇ μὲν γὰρ ἀκοῦσαι δεῖ ἀμφοτέρων, μὴ ἴσον δὲ νεῖμαι ἑκατέρῳ, ἀλλὰ τῷ μὲν σοφωτέρῳ πλέον, τῷ δὲ ἀμαθεστέρῳ ἔλαττον. ἐγὼ μὲν καὶ αὐτός, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, ἀξιῶ ὑμᾶς συγχωρεῖν καὶ ἀλλήλοις περὶ b τῶν λόγων ἀμφισβητεῖν μέν, ἐρίζειν δὲ μή· ἀμφισβητοῦσι μὲν γὰρ καὶ δι' εὔνοιαν οἱ φίλοι τοῖς φίλοις, ἐρίζουσι δὲ οἱ διάφοροί τε καὶ ἐχθροὶ ἀλλήλοις. καὶ οὕτως ἂν καλ-

336 e 19. πρός: *on the side of.*

337 a 24. κοινοὺς κτλ.: Prodicus gave much attention to the matter of synonyms, ὀρθότης τῶν ὀνομάτων, as he termed it, and his lecture upon the subject cost fifty drachmas. *Cf. Crat.* 384 b; Spengel συναγωγὴ τεχνῶν pp. 46–59. Since he attached too great value to this art, as it seems, and was always introducing such distinctions, he here, as 340 a, 358 a d, encounters the raillery of Socrates. For the sake of making a good hit, Plato perhaps goes beyond the reality in his description. κοινός and ἴσος were habitually joined with ἀκροατής. *Cf.* Dem. *de Cor.* 7 παρασχὼν ἑαυτὸν ἴσον καὶ κοινὸν ἀμφοτέροις ἀκροατήν, XXIX. 1 ἂν γὰρ ἴσοι καὶ κοινοὶ γένησθε ἡμῶν ἀκροαταί, XV. 29 τῶν μὲν γὰρ ἰδίων δικαίων οἱ νόμοι κοινὴν τὴν μετουσίαν ἔδοσαν καὶ ἴσην καὶ τοῖς ἀσθενέσι καὶ τοῖς ἰσχυροῖς. Prodicus's remark takes up the κοινῇ used by Critias. 337 a

338 d. ἐγὼ μὲν καὶ αὐτός κτλ.: *cf.* Prisc. viii. 35 Cicero in Protagora: nunc a vobis, o Protagora et Socrates, postulo, ut de isto concedatis alter alteri et inter vos de hujusce modi rebus controversemini, non concertetis.

b 31. δι' εὔνοιαν: *with the best of feeling.*

St. p. 337.

λίστη ἡμῖν ἡ συνουσία γίγνοιτο· ὑμεῖς τε γὰρ οἱ λέγοντες μάλιστ' ἂν οὕτως ἐν ἡμῖν τοῖς ἀκούουσιν εὐδοκιμοῖτε καὶ οὐκ ἐπαινοῖσθε — εὐδοκιμεῖν μὲν γὰρ ἔστι παρὰ ταῖς ψυχαῖς τῶν ἀκουόντων ἄνευ ἀπάτης, ἐπαινεῖσθαι δὲ ἐν λόγῳ πολλάκις παρὰ δόξαν ψευδομένων —, ἡμεῖς τ' αὖ οἱ ἀκούοντες μάλιστ' ἂν οὕτως εὐφραινοίμεθα, οὐχ' ἡδοίμεθα· εὐφραίνεσθαι μὲν γὰρ ἔστι μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ, ἥδεσθαι δὲ ἐσθίοντά τι ἢ ἄλλο ἡδὺ πάσχοντα αὐτῷ τῷ σώματι.

XXIV. Ταῦτα οὖν εἰπόντος τοῦ Προδίκου πολλοὶ πάνυ τῶν παρόντων ἀπεδέξαντο. μετὰ δὲ τὸν Πρόδικον Ἱππίας ὁ σοφὸς εἶπεν, Ὦ ἄνδρες ἔφη, οἱ παρόντες, ἡγοῦμαι ἐγὼ ἡμᾶς συγγενεῖς τε καὶ οἰκείους καὶ πολίτας ἅπαντας εἶναι, φύσει, οὐ νόμῳ· τὸ γὰρ ὁμοῖον τῷ ὁμοίῳ φύσει συγγενές

337 b 34. ἐν ἡμῖν: *before us* as judges. See on 355 d; *cf. Gorg.* 464 d *εἰ δέοι ἐν παισὶ διαγωνίζεσθαι ὑφοποιόν τε καὶ ἰατρόν.*

c 37. πολλάκις: const. with ψευδομένων.

38. εὐφραινοίμεθα: *cf.* Arist. *Top.* ii. 6. 6 *Πρόδικος διηρεῖτο τὰς ἡδονὰς εἰς χαρὰν καὶ τέρψιν καὶ εὐφροσύνην*, but the distinctions themselves are not specified, and the statement is not sustained by the passage from Prodicus in Xen. *Mem.* ii. 1. 24 *τί ἂν κεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων ὀσφρανόμενος ἢ ἁπτόμενος ἡσθείης, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης.*

40 f. αὐτῇ, αὐτῷ: in sense nearly equiv. to *μόνῃ* and *μόνῳ*. See on 309 a.

XXIV. 4. συγγενεῖς: it was the cardinal point of the sophistic ethics, that positive laws are arbitrary restrictions, imposed upon men by powerful individuals or by the majority, with the purpose simply of 337 c putting them down, and of restraining the natural rights of the individual, *i.e.* those things which he desires and regards as his rights. That Hippias also taught this is shown by Xen. *Mem.* iv. 4. 14 ff. Plato therefore, in order here to characterize him, makes him express this principle.

d 5. ὁμοιον τῷ ὁμοίῳ: *cf. Gorg.* 510 b *φίλος μοι δοκεῖ ἕκαστος ἑκάστῳ εἶναι ὡς οἷόν τε μάλιστα, ὥσπερ οἱ παλαιοί τε καὶ σοφοὶ λέγουσιν, ὁ ὅμοιος τῷ ὁμοίῳ, Symp.* 195 b *ὁ γὰρ παλαιὸς λόγος εὖ ἔχει, ὡς ὅμοιον ὁμοίῳ ἀεὶ πελάζει, Lys.* 214 b *οὐκοῦν καὶ τοῖς τῶν σοφωτάτων συγγράμμασιν ἐντετύχηκας ταῦτα αὐτὰ λέγουσιν, ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ ἀνάγκη ἀεὶ φίλον εἶναι; εἰσὶ δέ που οὗτοι οἱ περὶ φύσεώς (nature) τε καὶ τοῦ ὅλου (the universe) διαλεγόμενοι καὶ γράφοντες*, a description referring directly to Empedocles, but applying equally well to Hippias.

St. p. 337.

ἐστιν, ὁ δὲ νόμος, τύραννος ὢν τῶν ἀνθρώπων, πολλὰ παρὰ τὴν φύσιν βιάζεται. ἡμᾶς οὖν αἰσχρὸν τὴν μὲν φύσιν τῶν πραγμάτων εἰδέναι, σοφωτάτους δὲ ὄντας τῶν Ἑλλήνων, καὶ κατ' αὐτὸ τοῦτο νῦν συνεληλυθότας τῆς τε Ἑλλάδος εἰς αὐτὸ τὸ πρυτανεῖον τῆς σοφίας καὶ αὐτῆς τῆς πόλεως εἰς τὸν μέγιστον καὶ ὀλβιώτατον οἶκον τόνδε, μηδὲν τούτου τοῦ ἀξιώματος ἄξιον ἀποφήνασθαι, ἀλλ' ὥσπερ τοὺς φαυλοτάτους τῶν ἀνθρώπων διαφέρεσθαι ἀλλήλοις. ἐγὼ e μὲν οὖν καὶ δέομαι καὶ συμβουλεύω, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, συμβῆναι ὑμᾶς ὥσπερ ὑπὸ διαιτητῶν ἡμῶν

337 d 6. νόμος: the sophists often appealed, in support of their view of right, to a passage of Pindar (*Frag. inc.* 151 Boeckh, 169 Bgk.) *νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων ἄγει δικαίων τὸ βιαιότατον ὑπερτάτᾳ χειρί* (*does, and makes just, that which is most violent, with supreme hand*), understanding by this the law of nature. *Cf. Gorg.* 484 b, 488 b. — πολλὰ κτέ.: *often forces unnatural connections, i.e.* of ordinary and superior natures in the state.

10. πρυτανεῖον: was originally probably in most Greek cities the public building devoted to the Prytanis, the highest official, where was also the sanctuary of the Ἑστία, the sacred state-hearth, so that it formed the heart and centre of the city. Athens therefore is called here and by Theopompus (Athen. vi. 254 b) τὸ πρυτανεῖον τῆς Ἑλλάδος, in the same sense in which a Pythian oracle (Ael. *V. H.* iv. 6) called her τὴν κοινὴν ἑστίαν τῆς Ἑλλάδος, Pindar (*Frag.* 54) Ἑλλάδος ἕρεισμα, Thucydides (*Anth.* vii. 45) Ἑλλάδος Ἑλλάς, others τὸ τῆς Ἑλλάδος μουσεῖον. — The solemn, pompous, and at the same time flattering style of Hippias's words is doubtless true to 337 d the life.

15. Hippias compares himself and e the rest of the company to arbitrators, umpires, freely chosen by the contending parties. It is the office of these umpires to persuade both parties (here, Socrates and Protagoras) to moderate their demands and to unite upon some intermediate course. *συμβαίνειν* and *συμβιβάζειν* are here the technical expressions (*cf.* Thuc. ii. 29 *ξυνεβίβασε δὲ καὶ τὸν Περδίκκαν τοῖς Ἀθηναίοις*). *ὑπό* is used because *συμβῆναι* has a pass. sense. See H. 820. — The peculiar transposition of the words, for *ὑφ' ἡμῶν ὥσπερ ὑπὸ διαιτητῶν*, is very freq. in Plato in such comparisons. *Cf. Rep.* iii. 414 e *δεῖ δὲ περὶ μητρὸς καὶ τροφοῦ τῆς χώρας ἐν ᾗ εἰσὶ βουλεύεσθαι*, vii. 520 e *ὡς ἐπ' ἀναγκαῖον αὐτῶν ἕκαστος εἶσι τὸ ἄρχειν (will take office)*, viii. 545 e *ὡς πρὸς παῖδας ἡμᾶς παιζούσας (viz. τὰς Μούσας)*, *Theaet.* 170 a *ὥσπερ πρὸς θεοὺς ἔχειν τοὺς ἐν ἐκάστοις ἄρχοντας look up to their commanders in such peril as to gods.* — As *συμβῆναι* in this sense almost always stands absolutely, *εἰς τὸ μέσον* is most simply connected with *συμβιβαζόντων*.

St. p. 339.

ἵνα μοι χρόνος ἐγγένηται τῇ σκέψει τί λέγοι ὁ ποιητής,
τρέπομαι πρὸς τὸν Πρόδικον, καὶ καλέσας αὐτόν, Ὦ Πρόδικε, ἔφην ἐγώ, σὸς μέντοι Σιμωνίδης πολίτης· δίκαιος εἶ βοηθεῖν τῷ ἀνδρί. δοκῶ οὖν μοι ἐγὼ παρακαλεῖν σέ, 340
ὥσπερ ἔφη Ὅμηρος τὸν Σκάμανδρον πολιορκούμενον ὑπὸ τοῦ Ἀχιλλέως τὸν Σιμόεντα παρακαλεῖν, εἰπόντα·

φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ σχῶμεν.

ἀτὰρ καὶ ἐγὼ σὲ παρακαλῶ, μὴ ἡμῖν ὁ Πρωταγόρας τὸν Σιμωνίδην ἐκπέρσῃ. καὶ γὰρ οὖν καὶ δεῖται τὸ ὑπὲρ Σιμωνίδου ἐπανόρθωμα τῆς σῆς μουσικῆς, ἥ τό τε βούλεσθαι καὶ ἐπιθυμεῖν διαιρεῖς ὡς οὐ ταὐτὸν ὄν, καὶ ἃ νῦν δὴ εἶπες πολλά τε καὶ καλά. καὶ νῦν σκόπει, εἴ σοι b
συνδοκεῖ ὅ περ ἐμοί. οὐ γὰρ φαίνεται ἐναντία λέγειν αὐτὸς αὐτῷ Σιμωνίδης. σὺ γάρ, ὦ Πρόδικε, προαπόφηναι τὴν σὴν γνώμην· ταὐτόν σοι δοκεῖ εἶναι τὸ γενέσθαι

339 c 44. ἐγγένηται: *cf. Phaedo* 86 e *χρόνον ἐγγενομένου*. — λέγοι: opt. after a historical present. See G. 201 Rem.

339 a 47. παρακαλεῖν: usually *δοκῶ μοι* (*I am resolved*) takes the inf. fut. (*cf. Theaet.* 183 d *ἀλλά μοι δοκῶ οὐ πείσεσθαι αὐτῷ*), but the pres. is also used (*Phaedr.* 230 e *ἐγὼ μέν μοι δοκῶ παταυδᾶσθαι I intend to lie down*, Ar. *Vesp.* 177 *ἀλλ' εἰσιόν μοι τὸν ὄνον ἐξάγειν δοκῶ*). So here παρακαλεῖν is to be taken as inf. pres. since the action referred to is close at hand. The appeal is repeated after the clause introduced by ὅσπερ.

50. *Cf.* Hom. Φ 307 (Σκάμανδρος) Σιμόεντι δὲ εἰάλετ' ἄεσας | 'φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφοτέροιν περ | σχῶμεν, ἐπεὶ τάχα δῆτα μέγα Πριάμοιο ἄνακτος | ἐντροπόν.' Hence the unusual expression τὸν Σιμωνίδην ἐκπέρσῃ (*cf.* Soph. *Tr.* 1194 *τυφλὸς ὢν' ὅπως ἄνευ πλήθους τέλας*, Lobeck on *Aias* 1108) and the preceding πολιορκούμενον. This latter word is used figuratively in *Rep.* v. 453 a *ἵνα μὴ ἔρημα τὰ τοῦ ἑτέρου λόγου πολιορκῆται that the opposite view may not be besieged without defenders.*

339 a 53. ὑπέρ: Socrates's correction of the view of Protagoras will be at once a defence of Simonides.

54. μουσικῆς: used at times by Plato of all intellectual effort and knowledge (*cf. Rep.* ii. 376 e *μουσικὴν δ' εἰπὼν τίθῃς λόγους but when you say this, do you include literature in music?*), esp. poetry and philosophy (*cf. Phaedo* 61 a *ὃς φιλοσοφίας μὲν οὕτως μεγίστης μουσικῆς*). Here, somewhat sarcastically, it denotes the knowledge of synonyms, *cf.* 337 a ff.

55. διαιρεῖς: Socrates had often heard Prodicus's expositions, see on 341 a, l. 15.

St. p. 340.

καὶ τὸ εἶναι, ἢ ἄλλο; Ἄλλο νὴ Δί', ἔφη ὁ Πρόδικος. Οὐκοῦν, ἔφην ἐγώ, ἐν μὲν τοῖς πρώτοις αὐτὸς ὁ Σιμωνίδης τὴν ἑαυτοῦ γνώμην ἀπεφήνατο, ὅτι ἄνδρα ἀγαθὸν ἀληθείᾳ γενέσθαι χαλεπὸν εἴη; Ἀληθῆ λέγεις, ἔφη ὁ e
Πρόδικος. Τὸν δέ γε Πιττακόν, ἦν δ' ἐγώ, μέμφεται οὐχ ὡς οἴεται Πρωταγόρας ταὐτὸν ἑαυτῷ λέγοντα, ἀλλ' ἄλλο. οὐ γὰρ τοῦτο ὁ Πιττακὸς ἔλεγε χαλεπόν, γενέσθαι ἐσθλόν, ὥσπερ ὁ Σιμωνίδης, ἀλλὰ τὸ ἔμμεναι· ἔστι δὲ οὐ ταὐτόν, ὦ Πρωταγόρα, ὥς φησι Πρόδικος ὅδε, τὸ εἶναι καὶ τὸ γενέσθαι. εἰ δὲ μὴ τὸ αὐτό ἐστι τὸ εἶναι τῷ γενέσθαι, οὐκ ἐναντία λέγει ὁ Σιμωνίδης αὐτὸς αὐτῷ. καὶ ἴσως ἂν φαίη Πρόδικος ὅδε καὶ ἄλλοι πολλοί, καθ' a
Ἡσίοδον, γενέσθαι μὲν ἀγαθὸν χαλεπὸν εἶναι· τῆς γὰρ ἀρετῆς ἔμπροσθεν τοὺς θεοὺς ἱδρῶτα θεῖναι· ὅταν δέ τις αὐτῆς εἰς ἄκρον ἵκηται, ῥηιδίην δὴπειτα πέλειν, χαλεπήν περ ἐοῦσαν, ἐκτῆσθαι.

XXVII. Ὁ μὲν οὖν Πρόδικος ἀκούσας ταῦτα ἐπῄνεσέ με· ὁ δὲ Πρωταγόρας, Τὸ ἐπανόρθωμά σοι, ἔφη, ὦ Σώκρατες,

340 e 66. Const., *ὁ Πιττακὸς τὸ χαλεπὸν οὐκ ἔλεγε τοῦτο, γενέσθαι ἐσθλόν, ἀλλὰ τὸ ἔμμεναι, sc. ἐσθλόν.* The inf. is used with equal freq. with and without the art. after this use of τοῦτο. *Cf.* also *Gorg.* 489 d *πάλαι τοιοῦτόν τί σε λέγων τὸ κρεῖττον.*

71. Socrates ascribes this view only to Prodicus and others, not to himself, as he already has in mind his own later exposition. There is at the same time an allusion here to Prodicus's 'Choice of Heracles' in connection with which Xenophon also, *Mem.* ii. 1. 20, quotes the passage of Hesiod.

d 72. τῆς γὰρ κτλ.: *cf.* Hes. Ἔργα 287 ff. *τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν (in abundance) ἔστιν ἑλέσθαι | ῥηιδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει. | τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν | ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν | καὶ τραχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται, | ῥηιδίη δέπειτα πέλει, χαλεπὴ περ ἐοῦσα.* The passage is cited also in *Rep.* ii. 364 e. Simonides himself had said (*Frag.* 32 Schn., 58 Bgk.) *ἔστι τις λόγος τὰν ἀρετὰν παλαιοῖσ' ἐνσυμβάλτοις ἐπὶ πέτραις.*

75. ἐκτῆσθαι: added by Plato (*cf.* 340 e) to explain ῥηιδίην. After vowels Plato uses κεκτῆσθαι, after consonants both ἐκτῆσθαι and κεκτῆσθαι.

XXVII. 2. ἐπανόρθωμα: Socrates is making a *defence* of Simonides against attack, not a *correction* of error. His reply however εἰμι ... ἰατρὸς falls in with Protagoras's μοῦζον ἁμάρτημα κτλ. *Cf.* a above.

St. p. 337.

λίστη ἡμῖν ἡ συνουσία γίγνοιτο· ὑμεῖς τε γὰρ οἱ λέγοντες μάλιστ' ἂν οὕτως ἐν ἡμῖν τοῖς ἀκούουσιν εὐδοκιμοῖτε καὶ οὐκ ἐπαινοῖσθε — εὐδοκιμεῖν μὲν γὰρ ἔστι παρὰ ταῖς ψυχαῖς τῶν ἀκουόντων ἄνευ ἀπάτης, ἐπαινεῖσθαι δὲ ἐν λόγῳ πολλάκις παρὰ δόξαν ψευδομένων —, ἡμεῖς τ' αὖ οἱ ἀκούοντες μάλιστ' ἂν οὕτως εὐφραινοίμεθα, οὐχ' ἡδοίμεθα· εὐφραίνεσθαι μὲν γὰρ ἔστι μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ, ἥδεσθαι δὲ ἐσθίοντά τι ἢ ἄλλο ἡδὺ πάσχοντα αὐτῷ τῷ σώματι.

XXIV. Ταῦτα οὖν εἰπόντος τοῦ Προδίκου πολλοὶ πάνυ τῶν παρόντων ἀπεδέξαντο. μετὰ δὲ τὸν Πρόδικον Ἱππίας ὁ σοφὸς εἶπεν, Ὦ ἄνδρες ἔφη, οἱ παρόντες, ἡγοῦμαι ἐγὼ ἡμᾶς συγγενεῖς τε καὶ οἰκείους καὶ πολίτας ἅπαντας εἶναι, φύσει, οὐ νόμῳ· τὸ γὰρ ὁμοῖον τῷ ὁμοίῳ φύσει συγγενές

337 b 34. ἐν ἡμῖν: *before us* as judges. See on 365 d; *cf. Gorg.* 464 d *εἰ βέοι ἐν παισὶ διαγωνίζεσθαι ῥήτορσιν τε καὶ ἰατροῖς.*

c 37. πολλάκις: const. with ψευδομένων.

38. εὐφραινοίμεθα: *cf.* Arist. *Top.* ii. 6. 6 Πρόδικος διηρεῖτο τὰς ἡδονὰς εἰς χαρὰν καὶ τέρψιν καὶ εὐφροσύνην, but the distinctions themselves are not specified, and the statement is not sustained by the passage from Prodicus in Xen. *Mem.* ii. 1. 24 *τί ἂν κεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἴδῃς ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων ἐσφρανθέντος ἢ ἁπτόμενος ἡσθείης, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφραν-θείης.*

40 f. αὐτῇ, αὐτῷ: in sense nearly equiv. to *μόνῃ* and *μόνῳ*. See on 309 a.

XXIV. 4. συγγενεῖς: it was the cardinal point of the sophistic ethics, that positive laws are arbitrary restrictions, imposed upon men by powerful individuals or by the majority, with the purpose simply of 337 c putting them down, and of restraining the natural rights of the individual, *i.e.* those things which he desires and regards as his rights. That Hippias also taught this is shown by Xen. *Mem.* iv. 4. 14 ff. Plato therefore, in order here to characterize him, makes him express this principle.

d 5. ὁμοῖον τῷ ὁμοίῳ: *cf. Gorg.* 510 b *φίλος μοι δοκεῖ ἕκαστος ἑκάστῳ εἶναι ἐν οἷόν τε μάλιστα, ὥσπερ οἱ παλαιοί τε καὶ σοφοὶ λέγουσιν, ὁ ὅμοιος τῷ ὁμοίῳ, Symp.* 195 b *ὁ γὰρ παλαιὸς λόγος εὖ ἔχει, ὡς ὅμοιον ὁμοίῳ ἀεὶ πελάζει, Lys.* 214 b *οὐκοῦν καὶ τοῖς τῶν σοφωτάτων συγγράμμασιν ἐντετύχηκας ταῦτα αὐτὰ λέγουσιν, ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ ἀνάγκη ἀεὶ φίλον εἶναι; εἰσὶ δέ που οὗτοι οἱ περὶ φύσεώς (nature) τε καὶ τοῦ ὅλου (the universe) διαλεγόμενοι καὶ γράφοντες*, a description referring directly to Empedocles, but applying equally well to Hippias.

St. p. 337.

ἐστιν, ὁ δὲ νόμος, τύραννος ὢν τῶν ἀνθρώπων, πολλὰ παρὰ τὴν φύσιν βιάζεται. ἡμᾶς οὖν αἰσχρὸν τὴν μὲν φύσιν τῶν πραγμάτων εἰδέναι, σοφωτάτους δὲ ὄντας τῶν Ἑλλήνων, καὶ κατ' αὐτὸ τοῦτο νῦν συνεληλυθότας τῆς τε Ἑλλάδος εἰς αὐτὸ τὸ πρυτανεῖον τῆς σοφίας καὶ αὐτῆς τῆς πόλεως εἰς τὸν μέγιστον καὶ ὀλβιώτατον οἶκον τόνδε, μηδὲν τούτου τοῦ ἀξιώματος ἄξιον ἀποφήνασθαι, ἀλλ' ὥσπερ τοὺς φαυλοτάτους τῶν ἀνθρώπων διαφέρεσθαι ἀλλήλοις. ἐγὼ e μὲν οὖν καὶ δέομαι καὶ συμβουλεύω, ὦ Πρωταγόρα τε καὶ Σώκρατες, συμβῆναι ὑμᾶς ὥσπερ ὑπὸ διαιτητῶν ἡμῶν

337 d 6. νόμος: the sophists often appealed, in support of their view of right, to a passage of Pindar (*Frag. inc.* 151 Boeckh, 169 Bgk.) *νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων ἄγει δικαίων τὸ βιαιότατον ὑποφέρτατον χειρί (does, and makes just, that which is most violent, with supreme hand)*, understanding by this the law of nature. *Cf. Gorg.* 484 b, 488 b. — πολλὰ ἀντ.: *often forces unnatural connections, i.e.* of ordinary and superior natures in the state.

10. πρυτανεῖον: was originally probably in most Greek cities the public building devoted to the Prytanis, the highest official, where was also the sanctuary of the Ἑστία, the sacred state-hearth, so that it formed the heart and centre of the city. Athens therefore is called here and by Theopompus (Athen. vi. 254 b) τὸ πρυτανεῖον τῆς Ἑλλάδος, in the same sense in which a Pythian oracle (Ael. *V. H.* iv. 6) called her τὴν κοινὴν ἑστίαν τῆς Ἑλλάδος, Pindar (*Frag.* 54) Ἑλλάδος ἕρεισμα, Thucydides (*Anth.* vii. 45) Ἑλλάδος Ἑλλάς, others τὸ τῆς Ἑλλάδος μουσεῖον. — The solemn, pompous, and at the same time flattering style of Hippias's words is doubtless true to 337 d the life.

15. Hippias compares himself and e the rest of the company to arbitrators, umpires, freely chosen by the contending parties. It is the office of these umpires to persuade both parties (here, Socrates and Protagoras) to moderate their demands and to unite upon some intermediate course. συμβαίνειν and συμβιβάζειν are here the technical expressions (*cf.* Thuc. ii. 29 ξυνεβίβασε δὲ καὶ τὸν Περδίκκαν τοῖς Ἀθηναίοις). ὑπό is used because συμβῆναι has a pass. sense. See H. 830. — The peculiar transposition of the words, for ὑφ' ἡμῶν ὥσπερ ὑπὸ διαιτητῶν, is very freq. in Plato in such comparisons. *Cf. Rep.* iii. 414 e *δεῖ δὴ περὶ μητρὸς καὶ τροφοῦ τῆς χώρας ἐν ᾗ οἰκεῖ βουλεύεσθαι, vii.* 520 e *ὡς ἐπ' ἀναγκαῖον αὐτὸν ἕκαστος οἴσει τὸ ἄρχειν (will take office), viii.* 545 e *ὡς νῦν παῖδας ἡμᾶς παιζόντας (viz. τὰς Μούσας), Theaet.* 170 a *ὥσπερ νῦν ὑπὸ θεοῦ ἔχων τοὺς ἐν ἀφόβοις ἄρχοντας look up to their commanders in such peril as to gods.* — ὑπὸ συμβῆναι in this sense almost always stands absolutely, *εἰς τὸ μέσον* is most simply connected with *συμβιβάζοντες*.

[redacted]

St. p. 338.

συμβιβαζόντων εἰς τὸ μέσον καὶ μήτε σὲ τὸ ἀκριβὲς 338
τοῦτο εἶδος τῶν διαλόγων ζητεῖν τὸ κατὰ βραχὺ λίαν,
εἰ μὴ ἡδὺ Πρωταγόρᾳ, ἀλλ' ἐφεῖναι καὶ χαλάσαι τὰς
ἡνίας τοῖς λόγοις, ἵνα μεγαλοπρεπέστεροι καὶ εὐσχημονέ-
στεροι ἡμῖν φαίνωνται, μήτ' αὖ Πρωταγόραν πάντα κά-
λων ἐκτείναντα, οὐρίᾳ ἐφέντα, φεύγειν εἰς τὸ πέλαγος
τῶν λόγων, ἀποκρύψαντα γῆν, ἀλλὰ μέσον τι ἀμφοτέρους
τεμεῖν. ὡς οὖν ποιήσετε, καὶ πείσεσθέ μοι ῥαβδοῦχον καὶ b

338 a 17. λίαν: belongs to ζητεῖν, and stands at the end of the clause because it is emphatic.

20. φαίνωνται: *come into view, present themselves.* *Cf.* *Euthyd.* 288 e εἶναι γάρ τι αὐτοῖν πάγκαλον φανεῖσθαι, ἐπειδὰν ἄρξωνται σπουδάζειν *for I think some great beauty will appear in the two, when they begin to be in earnest,* 294 a ὅτι δυνησοντὸν λόγους καὶ ἀγαθὸν μέγα σοφὸν εἶναι. — As this refers only to Socrates's words, it cannot have ἡμῖν with the Mss. ἡμῖν is ethical dat. — πάντα πάλων ἐκτείναντα: (or σείων, ἐφέντα, πάντων, ἐκλύσειν), like οὐρίᾳ ἐφέντα and ἀνατρέπτων γῆν, a nautical expression, "letting out all the ropes, that hold and stretch the sails, as long as possible," *i.e. setting every sail.* Then figuratively, *cf.* Schol. on Plato ii., p. 466 Bk. παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. *Cf.* Eur. *Med.* 278 ἐκ γὰρ ἐξῶσαι πάντα δὴ πάλων, Ar. *Eq.* 756 νῦν δή σε πάντα δεῖ πάλων ἐξιέναι σεαυτοῦ, Zenobius v. 62.

21. οὐρίᾳ ἐφέντα: Ovid *Met.* xv. 176 (Pythagoras speaks), et quoniam magne feror aequore plenaque ventis | vela dedi. ἐφέντα is intr., see on 336 a. — πέλαγος: a freq. comparison. *Cf.* *Rep.* v. 453 d εἰκὸς γὰρ καὶ ὑμῖν πανταχοῦ (must swim) καὶ πολλαχοῦ σὺν ζόφῳ ἐν τοῦ λόγου, *Symp.* 210 d ἐπὶ τὸ πολὺ πέλαγος τετραμμένος τοῦ καλοῦ, *Polit.* 273 d ἵνα μὴ χειμασθεὶς (*tempest-tossed*) εἰς τὸν τῆς ἀνομοιότητος ἄπειρον ὄντα τόπον ἔλθῃ, Cic. *Tusc.* 4, 9 statimne nos vela facere, an quasi e porta egredientes paullulum remigare.

22. ἀποκρύψαντα: *cause to disappear, lose from sight.* *Cf.* Thuc. v. 65. 6 ἀνεῖδη ἐκεῖνοι ἀπόντας ἀποκρύψαν (*sc.* αὐτούς), Luc. *V. H.* ii. 38 ἐπεὶ δὲ ἀπεκρύψαμεν αὐτούς, Verg. *Aen.* iii. 291 protinus aërias Phaeacum abscondimus arces.

23. τεμεῖν: freq. of the way, course, *open, take, pursue* (like Lat. secare). *Cf.* *Polit.* 262 b διὰ μέσου δὴ ἀσφαλέστερον λίαν τέμνονται, *Legg.* vii. 803 e καθάπερ ὁδοὶ τέτμηνται. — ὡς: equiv. to οὕτως, elsewhere in prose, only after ὡς, ὅστερ (see on 326 d); yet this use is also found in Thuc. iii. 37 ὡς οὖν χρὴ καὶ ἡμᾶς ποιοῦντας παραινεῖν. — The imperative force of the fut. ind. corresponds to the assumption and confidence of Hippias. — ῥαβδοῦχον: it was very appropriate for Hippias the *Elean* to multiply terms for the directors and judges of contests, and thus to embellish his discourse. The ῥαβδοῦχοι or ῥαβδοφόροι are seen on all vases in pictures of gymnastic contests. On ἀγωνόθητης and βραβευτής *cf.* *Legg.* xii. 949 a καὶ γραμματῶν τε καὶ ἀγωνοθετῶν ἄλλων

St. p. 338.

ἐπιστάτην καὶ πρύτανιν ἐλέσθαι, ὃς ὑμῖν φυλάξει τὸ μέ-
τριον μῆκος τῶν λόγων ἑκατέρου.

XXV. Ταῦτα ἤρεσε τοῖς παροῦσι, καὶ πάντες ἐπῄνεσαν,
καὶ ἐμέ τε ὁ Καλλίας οὐκ ἔφη ἀφήσειν καὶ ἑλέσθαι ἐδέ-
οντο ἐπιστάτην. εἶπον οὖν ἐγὼ ὅτι αἰσχρὸν εἴη βραβευ-
τὴν ἑλέσθαι τῶν λόγων. εἴτε γὰρ χείρων ἔσται ἡμῶν ὁ
αἱρεθείς, οὐκ ὀρθῶς ἂν ἔχοι τὸν χείρω τῶν βελτιόνων
ἐπιστατεῖν, εἴτε ὁμοῖος, οὐδ' οὕτως ὀρθῶς· ὁ γὰρ ὁμοῖος
ἡμῖν ὁμοῖα καὶ ποιήσει, ὥστε ἐκ περιττοῦ ᾑρήσεται.
ἀλλὰ δὴ βελτίονα ἡμῶν αἱρήσεσθε. τῇ μὲν ἀληθείᾳ, ὡς e
ἐγῷμαι, ἀδύνατον ὑμῖν, ὥστε Πρωταγόρου τοῦδε σοφώ-
τερόν τινα ἑλέσθαι· εἰ δὲ αἱρήσεσθε μὲν μηδὲν βελτίω,
φήσετε δέ, αἰσχρὸν καὶ τοῦτο τῷδε γίγνεται, ὥσπερ φαύλῳ
ἀνθρώπῳ ἐπιστάτην αἱρεῖσθαι, ἐπεὶ τό γ' ἐμὸν οὐδέν
μοι διαφέρει. ἀλλ' οὑτωσὶ ἐθέλω ποιῆσαι, ἵν', ὃ προθυ-
μεῖσθε, συνουσία τε καὶ διάλογοι ἡμῖν γίγνωνται. εἰ μὴ
βούλεται Πρωταγόρας ἀποκρίνεσθαι, οὗτος μὲν ἐρωτάτω, d
ἐγὼ δὲ ἀποκρινοῦμαι, καὶ ἅμα πειράσομαι αὐτῷ δεῖξαι
ὡς ἐγώ φημι χρῆναι τὸν ἀποκρινόμενον ἀποκρίνεσθαι·
ἐπειδὰν δὲ ἐγὼ ἀποκρίνωμαι ὁπόσ' ἂν οὗτος βούληται

338 b ἀγωνοθέτας καὶ βραβέας. Finally πρύτανις, an old word, *president*, was also doubtless the proper name of the one who arranged the contests. These presidents were selected either by those who instituted the respective games, or by the combatants themselves. In Socrates's words which follow, these methods of selection run into each other.

XXV. 2. τά: see on 325 b, l. 27.

7. ᾑρήσεται: the fut. pf. with temporal aug. is very rare.

e 8. ἀλλὰ δή: introduces objections raised by others, like the Lat. at. *Cf.* *Apol.* 37 c ἀλλὰ δὴ φυγῇ τιμήσομαι; *Crito* 54 a ἀλλὰ δὴ τῶν παίδων ἕνεκα 338 c βούλει ζῆν;

9. ἀδύνατον ὑμῖν: *sc.* αἱρεῖσθαι βελτίονα ὑμῶν, from which then naturally ὥστε . . . ἑλέσθαι would result. In other cases ὥστε at times immediately follows ἔστι, δυνατόν, ἐνδέχεται. *Cf.* Lys. xx. 24 ὑμῖν δ' οὐκ ἦν, ὥστ' ἐλθόντα, Plato *Phaedr.* 260 d τὸ δύνασθαι ὥστε ἀγωνιστὴν τέλεον γενέσθαι, *Polit.* 295 a ἐνδοὺς ὥστε διὰ βίου προστάττειν.

12. τό γ' ἐμόν: *for my part, so far as I am concerned.* Frequent in Plato. *Cf.* *Soph.* 237 b τὸ μὲν ἐμὸν ὅτῳ βούλει τίθεσο.

St. p. 338

ἐρωτᾶν, πάλιν οὗτος ἐμοὶ λόγον ὑποσχέτω ὁμοίως. ἐὰν
20 οὖν μὴ δοκῇ πρόθυμος εἶναι πρὸς αὐτὸ τὸ ἐρωτώμενον
ἀποκρίνεσθαι, καὶ ἐγὼ καὶ ὑμεῖς κοινῇ δεησόμεθα αὐτοῦ
ἅ περ ὑμεῖς ἐμοῦ, μὴ διαφθείρειν τὴν συνουσίαν. καὶ
ὀρθῶς
οὐδὲν δεῖ τούτου ἕνεκα ἕνα ἐπιστάτην γενέσθαι, ἀλλὰ πάν-
τες κοινῇ ἐπιστατήσετε. Ἐδόκει πᾶσιν οὕτω ποιητέον
25 εἶναι. καὶ ὁ Πρωταγόρας πάνυ μὲν οὐκ ἤθελεν, ὅμως δὲ
ἠναγκάσθη ὁμολογῆσαι ἐρωτήσειν, καὶ ἐπειδὰν ἱκανῶς ἐρω-
τήσῃ, πάλιν δώσειν λόγον κατὰ σμικρὸν ἀποκρινόμενος.

XXVI. Ἤρξατο οὖν ἐρωτᾶν οὑτωσί πως. Ἡγοῦμαι,
ἔφη, ὦ Σώκρατες, ἐγὼ ἀνδρὶ παιδείας μέγιστον μέρος
εἶναι περὶ ἐπῶν δεινὸν εἶναι· ἔστι δὲ τοῦτο τὰ ὑπὸ τῶν 338
ποιητῶν λεγόμενα οἷόν τ' εἶναι ξυνιέναι, ἃ τε ὀρθῶς πεποί-

St. p. 338

ηται καὶ ἃ μή, καὶ ἐπίστασθαι διελεῖν τε καὶ ἐρωτώμενον
λόγον δοῦναι. καὶ δὴ καὶ νῦν ἔσται τὸ ἐρώτημα περὶ τοῦ
αὐτοῦ μὲν περὶ οὗ περ ἐγώ τε καὶ σὺ νῦν δὴ διελεγόμεθα,
περὶ ἀρετῆς, μετενηνεγμένον δὲ εἰς ποίησιν· τοσοῦτον
μόνον διοίσει. λέγει γάρ που Σιμωνίδης πρὸς Σκόπαν,
τὸν Κρέοντος υἱὸν τοῦ Θετταλοῦ, ὅτι

Ἄνδρ' ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι χαλεπόν, b
χερσίν τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ
ψόγου τετυγμένον.

338 a 19. λόγον ὑποσχέτω: *render account, i.e.* defend his position. *Cf. Gorg.* 466 a τούτων δὲ πέρι εἰ ἀμφισβητεῖς, ἕνα λόγον ὑποσχεῖν λόγον, Xen. *Mem.* iv. 4. 9 ἀρκεῖ γὰρ ὅτι τῶν ἄλλων κατηγελᾷς (*for it is enough for you that you ridicule the others*) ἐρωτῶν μὲν καὶ ἐλέγχων πάντας, αὐτὸς δ' οὐδενὶ θέλων ὑπέχειν λόγον.

b 22. διαφθείρειν: *cf.* 360 a, *Symp.* 174 b ἵνα καὶ τὴν παροιμίαν διαφθείρωμεν μεταβάλλοντες *that we may spoil the proverb by changing it.*

24. ἔδοξεν πᾶσιν: they offered a facile acquiescence, *cf.* ταῦτα ἤρεσε αὐτῇ. above.

XXVI. 1. ἡγοῦμαι αὐτί.: the sophists were the first to make language the object of scientific examination and discussion. This was occasioned by, and in its turn promoted, the exegesis and criticism of the poets, who thus became the favorite theme of conversation in cultivated circles. This appears in Socrates's remarks in 347 c, and in the amusing scenes in Ar. *Ran.* 1099 ff. It was often, however, the sole aim of the sophists, through the pointing out of faults in form or contents, to exhibit their own superiority to these writers. Thus Protagoras censured the imv. in μῆνιν ἄειδε θεά, and the fem. form οὐλομένην (*cf.* Arist. *Poet.* 19, Soph. *El.* 14), and Hippias boasted his knowledge of the poets (*cf.* 347 a, Cic. *de Or.* iii. 127); see the dialogue *Hipp. Mi.* and Introd. p. 16 f. Isocrates says XII. 18 τινὲς μοι τῶν ἐντυγχανόντων ἔλεγον ὡς ἐν τῷ Λυκείῳ συγγιγνόμενοι τρεῖς ἢ τέτταρες τῶν ἀγελαίων (*common sort of*) σοφιστῶν καὶ πάντα φασκόντων εἰδέναι διαλέγοιντο περί τε τῶν ἄλλων ποιητῶν καὶ τῆς Ἡσιόδου καὶ τῆς Ὁμήρου ποιήσεως.

338 b 3. περὶ ἐπῶν: this and also ὀρθῶς were probably expressions characteristic of Protagoras, *cf.* 342 a. As to his ἀρθοέπεια, so called in *Phaedr.* 267 c, see Introd. p. 4.

339 a 5. διελεῖν: *analyze, explain. Cf.* 314 b διελέσθαι, *Hipp. Ma.* 285 c ἃ σὺ ἀκριβέστατα ἐπίστασαι ἀνθρώπων διαιρεῖν, περί τε γραμμάτων συνάμεως καὶ συλλαβῶν, *Charm.* 163 d καὶ γὰρ Προδίκου μοῦσα τινὰ ἀκήκοεν περὶ ὀνομάτων διαιρούντος. But in 340 a, 341 c it is *distinguish.*

7. νῦν δή: ἀρτίως ἢ μικρὸν ἔμπροσθεν, Photius *Lex.* p. 305, 9, *cf.* Poll. i. 72, when used with an impf. (otherwise in 349 a). The contrast is marked, as here, by νῦν or νῦν δέ, *cf.* 340 b νῦν δὴ εἶναι . . . νῦν σκέπτει, *Legg.* iii. 683 e ἢ νῦν δὴ μὲν τούτοις παρηντιάσαμεν τοῖς λόγοις οἵοις ταῦτ' ἐτίθεμεν, νῦν δ' ἐπιλελήσμεθα *or did we a little while ago, coming to these principles, lay them down thus, and now have we forgotten them?* the comic poet Magnes (Meineke *Com. Frag.* ii. 10) εἰκέ μοι· νῦν δὴ μὲν ὕμνος μὴ γεγονέναι, νῦν δὲ φῆς; After the interruption, the contrast of the earlier with the later (νῦν ἔσται) could not be expressed by νῦν διαλεγόμεθα (the reading of the Mss.).

9. περὶ Σκόπαν: "in a poem in honor of Scopas." The Scopadae, a princely family of Thessaly, allied with the Aleuadae, were dynasts in Crannon and Pharsalus. Of this family, Diactorides was among the suitors for the daughter of Clisthenes in Sicyon (Hdt. vi. 127), and a Scopas, according to Diogenes Laërtius, ii. 25, invited Socrates to his residence. Simonides, as Gorgias at a later day, was often the guest of the Scopadae, and composed several poems in their honor. These included an epinician ode (in which he celebrated the Dioscuri, Cic. *de Or.* ii. 86, Quint. xi. 2. 11 ff.), the poem before us (whether an epinician ode or a scolion see Introd. p. 19), and a threnos when a great part of the family perished, at a triumphal feast, by the fall of the roof of the banqueting hall (Bergk *Poet. Lyr.* iii. 384[4]). To meet the ἀπορία, the criticism of Protagoras, several answers are now ready; namely, the first attempted explanation by Socrates, the one by Prodicus, the second by Socrates, and the barely intended one by Hippias. See Introd. pp. 11 f.

339 b 12. τετράγωνον: *firm and unchangeable, perfect.* This meaning is derived from the use of the Pythagoreans, with whom the number four (τετρακτύς) and the square were symbols of the permanent, perfect, divine. *Cf.* δοκεῖ δὲ καὶ τοῖς Πυθαγορείοις (sc. τὸ τετράγωνον) εἰκόνα φέρειν τῆς θείας

St. p. 339.

τοῦτο ἐπίστασαι τὸ ᾄσμα, ἢ πᾶν σοι διεξέλθω; Καὶ ἐγὼ εἶπον ὅτι Οὐδὲν δεῖ· ἐπίσταμαί τε γὰρ καὶ πάνυ μοι τυγχάνει μεμελημένον τοῦ ᾄσματος. Εὖ, ἔφη, λέγεις. πότερον οὖν καλῶς σοι δοκεῖ πεποιῆσθαι καὶ ὀρθῶς, ἢ οὔ; Πάνυ, ἔφην ἐγώ, καλῶς τε καὶ ὀρθῶς. Δοκεῖ δέ σοι καλῶς πεποιῆσθαι, εἰ ἐναντία λέγει αὐτὸς αὑτῷ ὁ ποιητής; Οὐ καλῶς, ἦν δ' ἐγώ. Ὅρα δή, ἔφη, βέλτιον. Ἀλλ', ὦ- c γαθέ, ἔσκεμμαι ἱκανῶς. Οἶσθ' οὖν, ἔφη, ὅτι προϊόντος τοῦ ᾄσματος λέγει που·

Οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται
καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημένον· χαλεπὸν
φάτ' ἐσθλὸν ἔμμεναι.

ἐννοεῖς ὅτι ὁ αὐτὸς οὗτος καὶ τάδε λέγει κἀκεῖνα τὰ ἔμπροσθεν; Οἶδα, ἦν δ' ἐγώ. Δοκεῖ οὖν σοι, ἔφη, ταῦτα

339 b *σύστασις* (*the image of the divine nature*) Proclus on Euclidis *Elem.* p. 48 G, Boeckh *Philolaus*, 155. When *τετράγωνος* occurs later in the sense of our passage, it is a play on the verse of Simonides. So Arist. *Rhet.* iii. 11 *τὸν ἀγαθὸν ἄνδρα φάναι εἶναι τετράγωνον μεταφορά· ἅμφω γὰρ τέλεια.* Somewhat differently Varro (Pliny *N. H.* 34. 19) calls the figures (signa) of Polycletus quadrata, in contrast to those of Lysippus. *Cf.* in quadrum redigere.

16. *μεμελημένος*: *cf. Soph.* 227 a *τῇ τῶν λόγων μεθόδῳ συγγιγνομένῃ ἡ φαρμακοτεχνίας οὐδὲν ἧττον οὐδέ τι μᾶλλον τυγχάνει μέλον the dialectical art concerns itself neither less nor more with the use of the sponge than with the taking of physic.* — The usual impers. const. of *μέλει* is retained in the partic. with *τυγχάνει*.

18. Δοκεῖ δέ σοι κτλ.: this then is the *ἐρώτημα περὶ ἀρετῆς* proposed above.

20. *ὅρα*: *sc.* εἰ δοκεῖ καλῶς τε καὶ ὀρθῶς πεποιῆσθαι. 339 e

23. *νέμεται*: equiv. to *νομίζεται*. *Cf.* Soph. *O. T.* 1080 *ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς Τύχης νέμων*, *Tr.* 483 *εἴ τι τῇδ' ἁμαρτίαν νέμεις*. Thus in prose form, *οὐδ' ὑπ' ἐμοῦ νομίζεται τοῦτο παρὰ Πιττακοῦ καίπερ σοφοῦ ὄντος ἀνδρὸς ἐμμελῶς* (321 e) *εἰρῆσθαι· χαλεπὸν ἐσθλὸν ἔμμεναι*. — According to Didymus, in the Schol. on Plato ii. 369 Bk., Pittacus, the ruler of Mytilene, uttered the famous saying, on hearing that Periander, formerly mild and a friend of the people, had become cruel. With Solon's saying, *χαλεπὰ τὰ καλά*, which Plato frequently quotes, *cf.* Zenobius vi. 38. — Simonides was fond of quoting the expressions of others, as of Homer and Stesichorus, *Frag.* 25 Schn., 53 Bgk.; of Homer, *Frag.* 60 Schn., 85 Bgk.; of Hesiod, *Frag.* 33 Schn., 58 Bgk., or of combating them, as he said of a thought of Cleobulus of Lindus (*Frag.* 10 Schn., 57 Bgk.)

St. p. 339.

ἐκείνοις ὁμολογεῖσθαι; Φαίνεται ἔμοιγε. Καὶ ἅμα μέντοι ἐφοβούμην μή τι λέγοι. Ἀτάρ, ἔφην ἐγώ, σοὶ οὐ d φαίνεται; Πῶς γὰρ ἂν φαίνοιτο ὁμολογεῖν αὐτὸς ἑαυτῷ ὁ ταῦτα ἀμφότερα λέγων, ὅς γε τὸ μὲν πρῶτον αὐτὸς ὑπέθετο χαλεπὸν εἶναι ἄνδρα ἀγαθὸν γενέσθαι ἀληθείᾳ, ὀλίγον δὲ τοῦ ποιήματος εἰς τὸ πρόσθεν προελθὼν ἐπελάθετο, καὶ Πιττακὸν τὸν ταὐτὰ λέγοντα ἑαυτῷ, ὅτι χαλεπὸν ἐσθλὸν ἔμμεναι, τοῦτον μέμφεταί τε καὶ οὐ φησιν ἀποδέχεσθαι αὐτοῦ τὰ αὐτὰ ἑαυτῷ λέγοντος; καίτοι ὁπότε τὸν ταὐτὰ λέγοντα αὐτῷ μέμφεται, δῆλον ὅτι καὶ ἑαυτὸν μέμφεται, ὥστε ἤτοι τὸ πρότερον ἢ ὕστερον οὐκ ὀρθῶς λέγει. Εἰπὼν οὖν ταῦτα πολλοῖς θόρυβον παρέσχε καὶ ἔπαινον τῶν ἀκουόντων. καὶ ἐγὼ τὸ μὲν πρῶτον, e ὡσπερεὶ ὑπὸ ἀγαθοῦ πύκτου πληγείς, ἐσκοτώθην τε καὶ ἰλιγγίασα εἰπόντος αὐτοῦ ταῦτα καὶ τῶν ἄλλων ἐπιθορυβησάντων· ἔπειτα, ὡς γε πρὸς σὲ εἰρῆσθαι τἀληθῆ,

339 e *μικροῦ φωτὸς δεῖσε βουλή*. So Pindar, *P.* iv. 277 and elsewhere, appealed to Homer.

28, 30. *ὁμολογεῖσθαι, ὁμολογεῖν*: of persons *ὁμολογεῖν τινι*, of things *ὁμολογεῖσθαί τινι*. *Cf. Crat.* 416 a *καὶ τοῦτο γὰρ τοῖς ἔμπροσθεν ὁμολογεῖται*, *Rep.* v. 457 c *τὸν λόγον αὐτὸν αὐτῷ ὁμολογεῖσθαι*. 339 d

29. *ἐφοβούμην . . . λέγοι*: *I was afraid there was something in what he said*.

31. *ὅς γε*: qui quidem, *cf.* 343 c, l. 13. See H. 1037, 1.

32. *ὑπέθετο*: strictly, *lay down a principle in order to reason from it*, then in general *maintain*. *Cf.* 361 b *ὑποθέμενος*. Similarly 343 c *ὑποκείσεται*, and 359 a *ὑποκειμένων*.

33. *εἰς τὸ πρόσθεν προελθών*: freq. of a road or an investigation; so *προϊέναι*. *Cf. Legg.* iii. 683 a *εἰς δὴ τὸ πρόσθεν προελθοῦσιν ὅτι τοῦ νῦν ἐπιλελοίπεσαν ἡμῶν μύθου*, *Symp.* 174 d *κελεύων (Σωκράτη) προϊέναι εἰς τὸ πρόσθεν* (*forwards*), *Gorg.* 497 a *καὶ πρόσιθί γε ὅτι εἰς τοὔμπροσθεν*, below, 357 d *εἰς τὸ πρόσθεν ὅτι ἀμολογήκατε*, *Soph.* 258 c *εἰς τὸ πρόσθεν ὅτι ζητήσαντες*. 339 e

38. *τὸ πρότερον*: adv.

39. *παρέσχε*: *called out*.

41. *ἐστιρεὶ . . . πληγείς*: a contest of opinions is often compared to a boxing match, in which stunning blows would be received in the face. *Cf. Euthyd.* 303 a *ἐγὼ μὲν οὖν ὕστερον πληγεὶς ὑπὸ τοῦ λόγου ἐκείμην ἄφωνος*, *Phil.* 22 c *ἔμοιγε δοκεῖ νῦν ἡδονὴ σοι πεπτωκέναι καθαιρεῖ πληγεῖσα ὑπὸ τῶν νῦν δὴ λόγων*. 339 e

42. *Ἰλιγγίασα*: *cf. Gorg.* 486 b *ἰλιγγιᾷς ἂν καὶ χασμῷο* (*gape*) *οὐκ ἴσχων ὅ τι εἴποις*, *Lys.* 216 c.

43. *σέ*: i.e. the *ἕταιρος* mentioned in the opening of the dialogue, *cf.* 309 a ff.

St. p. 339.

ὥνα μοι χρόνος ἐγγένηται τῇ σκέψει τί λέγοι ὁ ποιητής,
45 τρέπομαι πρὸς τὸν Πρόδικον, καὶ καλέσας αὐτόν, Ὦ Πρόδικε, ἔφην ἐγώ, σὸς μέντοι Σιμωνίδης πολίτης· δίκαιος εἶ βοηθεῖν τῷ ἀνδρί. δοκῶ οὖν μοι ἐγὼ παρακαλεῖν σέ, 340
ὥσπερ ἔφη Ὅμηρος τὸν Σκάμανδρον πολιορκούμενον ὑπὸ τοῦ Ἀχιλλέως τὸν Σιμόεντα παρακαλεῖν, εἰπόντα·

50 φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ
σχῶμεν.

ἀτὰρ καὶ ἐγὼ σὲ παρακαλῶ, μὴ ἡμῖν ὁ Πρωταγόρας τὸν Σιμωνίδην ἐκπέρσῃ. καὶ γὰρ οὖν καὶ δεῖται τὸ ὑπὲρ Σιμωνίδου ἐπανόρθωμα τῆς σῆς μουσικῆς, ἥ τό τε βούλε-
55 σθαι καὶ ἐπιθυμεῖν διαιρεῖς ὡς οὐ ταὐτὸν ὄν, καὶ ἃ νῦν δὴ εἶπες πολλά τε καὶ καλά. καὶ νῦν σκόπει, εἴ σοι b συνδοκεῖ ὅ περ ἐμοί. οὐ γὰρ φαίνεται ἐναντία λέγειν αὐτὸς αὐτῷ Σιμωνίδης. σὺ γάρ, ὦ Πρόδικε, προαπόφηναι τὴν σὴν γνώμην· ταὐτόν σοι δοκεῖ εἶναι τὸ γενέσθαι

339 e 44. ἐγγίνηται: *cf. Phaedo* 86 e *χρόνου ἐγγενομένου*. — λέγοι: opt. after a historical present. See G. 201 Rem.

339 a 47. παρακαλεῖν: usually *δοκῶ μοι* (*I am resolved*) takes the inf. fut. (*cf. Theaet.* 183 d *ἀλλά μοι δοκῶ οὐ πείσεσθαι αὐτῷ*), but the pres. is also used (*Phaedr.* 230 e *ἐγὼ μέν μοι δοκῶ κατανεῦσθαι I intend to lie down*, Ar. *Vesp.* 177 *ἀλλ' εἰσιέναι μοι τὸν ὄνον ἐξέργειν δοκῶ*). So here παρακαλεῖν is to be taken as inf. pres. since the action referred to is close at hand. The appeal is repeated after the clause introduced by ὥσπερ.

50. *Cf.* Hom. Φ 307 (Σκάμανδρος) *Σιμόεντι δὲ κέλευε· φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ | σχῶμεν, ἤν περ τάχα δῆτον μέγα Πριάμοιο ἄνακτος | ἀντήσωσ.'* Hence the unusual expression τὸν Σιμωνίδην ἐκπέρσῃ (*cf. Soph. Tr.* 1194 *πυρᾶς δὲ πῶς ἄπυρα ἐκπερᾶν πάρεστι;* Lobeck on *Aias* 1106) and the preceding πολιορκούμενον. This latter word is used figuratively in *Rep.* v. 453 a *ἵνα μὴ ἔρημα τὰ τοῦ ἑτέρου λόγου πολιορκῆται that the opposite view may not be besieged without defenders.*

53. ὑπέρ: Socrates's correction of the view of Protagoras will be at once a defence of Simonides.

54. μουσικῆς: used at times by Plato of all intellectual effort and knowledge (*cf. Rep.* ii. 376 e *μουσικῆς δ' εἰπὼν τίθῃς λόγους but when you say this, do you include literature in music?*), esp. poetry and philosophy (*cf. Phaedo* 61 a *ὁ τῆς φιλοσοφίας μὲν οὔσης μεγίστης μουσικῆς*). Here, somewhat sarcastically, it denotes the knowledge of synonyms, *cf.* 337 a ff.

55. διαιρεῖς: Socrates had often heard Prodicus's expositions, see on 341 a, l. 15.

St. p. 340.

60 καὶ τὸ εἶναι, ἢ ἄλλο; Ἄλλο νὴ Δί', ἔφη ὁ Πρόδικος. Οὐκοῦν, ἔφην ἐγώ, ἐν μὲν τοῖς πρώτοις αὐτὸς ὁ Σιμωνίδης τὴν ἑαυτοῦ γνώμην ἀπεφήνατο, ὅτι ἄνδρα ἀγαθὸν ἀληθείᾳ γενέσθαι χαλεπὸν εἴη; Ἀληθῆ λέγεις, ἔφη ὁ e
Πρόδικος. Τὸν δέ γε Πιττακόν, ἦν δ' ἐγώ, μέμφεται οὐχ
65 ὡς οἴεται Πρωταγόρας ταὐτὸν ἑαυτῷ λέγοντα, ἀλλ' ἄλλο. οὐ γὰρ τοῦτο ὁ Πιττακὸς ἔλεγε χαλεπόν, γενέσθαι ἐσθλόν, ὥσπερ ὁ Σιμωνίδης, ἀλλὰ τὸ ἔμμεναι· ἔστι δὲ οὐ ταὐτόν, ὦ Πρωταγόρα, ὥς φησι Πρόδικος ὅδε, τὸ εἶναι καὶ τὸ γενέσθαι. εἰ δὲ μὴ τὸ αὐτό ἐστι τὸ εἶναι τῷ
70 γενέσθαι, οὐκ ἐναντία λέγει ὁ Σιμωνίδης αὐτὸς αὐτῷ. καὶ ἴσως ἂν φαίη Πρόδικος ὅδε καὶ ἄλλοι πολλοί, καθ' d
Ἡσίοδον, γενέσθαι μὲν ἀγαθὸν χαλεπὸν εἶναι· τῆς γὰρ ἀρετῆς ἔμπροσθεν τοὺς θεοὺς ἱδρῶτα θεῖναι· ὅταν δέ τις αὐτῆς εἰς ἄκρον ἵκηται, ῥηιδίην δὴ πειτα πέλειν,
75 χαλεπήν περ ἐοῦσαν, ἑκτῆσθαι.

XXVII. Ὁ μὲν οὖν Πρόδικος ἀκούσας ταῦτα ἐπῄνεσέ με· ὁ δὲ Πρωταγόρας, Τὸ ἐπανόρθωμά σοι, ἔφη, ὦ Σώκρατες,

340 e 66. Const., *ὁ Πιττακὸς τὸ χαλεπὸν οὐκ ἔλεγε τοῦτο, γενέσθαι ἐσθλόν, ἀλλὰ τὸ ἔμμεναι, sc. ἐσθλόν.* The inf. is used with equal freq. with and without the art. after this use of τοῦτο. *Cf.* also *Gorg.* 489 d *πάλαι τοιαῦτά τοιοῦτόν τί σε λέγειν τὸ πρᾶττον.*

71. Socrates ascribes this view only to Prodicus and others, not to himself, as he already has in mind his own later exposition. There is at the same time an allusion here to Prodicus's 'Choice of Heracles' in connection with which Xenophon also, *Mem.* ii. 1. 20, quotes the passage of Hesiod.

d 72. τῆς γὰρ κτλ.: *cf.* Hes. *Ἔργα* 287 ff. *τὴν μέν τοι κακότητα καὶ ἱλαδὸν (in abundance) ἔστιν ἑλέσθαι | ῥηιδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει. | τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν | ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν | καὶ τραχὺς τὸ πρῶτον· ἐπὴν δ' ἐς ἄκρον ἵκηται, | ῥηιδίη δίφρεια πέλει, χαλεπὴ περ ἰοῦσα.* The passage is cited also in *Rep.* ii. 364 e. Simonides himself had said (*Frag.* 32 Schn., 58 Bgk.) *ἔστι τις λόγος τὰν ἀρετὰν παλαιοῖς δυσμαθέστοις ἐπὶ πέτραις.*

75. ἑκτῆσθαι: added by Plato (*cf.* 340 e) to explain ῥηιδίην. After vowels Plato uses κεκτῆσθαι, after consonants both ἑκτῆσθαι and κεκτῆσθαι.

XXVII. 2. ἐπανόρθωμα: Socrates is making a *defence* of Simonides against attack, not a *correction* of error. His reply however εἰμί ... ἰατρός falls in with Protagoras's μεῖζον ἁμάρτημα κτλ. *Cf.* a above.

St. p. 340.

μεῖζον ἁμάρτημα ἔχει ἢ ὁ ἐπανορθοῖς. Καὶ ἐγὼ εἶπον, Καλὸν ἄρα μοι εἴργασται, ὡς ἔοικεν, ὦ Πρωταγόρα, καὶ ε εἰμί τις γελοῖος ἰατρός· ἰώμενος μεῖζον τὸ νόσημα ποιῶ. Ἀλλ' οὕτως ἔχει, ἔφη. Πῶς δή; ἦν δ' ἐγώ. Πολλὴ ἄν, ἔφη, ἀμαθία εἴη τοῦ ποιητοῦ, εἰ οὕτω φαῦλόν τί φησιν εἶναι τὴν ἀρετὴν ἐκτῆσθαι, ὃ ἐστι πάντων χαλεπώτατον, ὡς ἅπασι δοκεῖ ἀνθρώποις. Καὶ ἐγὼ εἶπον, Νὴ τὸν Δία, εἰς καιρόν γε παρατετύχηκεν ἡμῖν ἐν τοῖς λόγοις Πρόδικος ὅδε. κινδυνεύει γάρ τοι, ὦ Πρωταγόρα, ἡ Προδίκου σοφία θεία τις εἶναι πάλαι, ἤτοι ἀπὸ Σιμωνίδου 341 ἀρξαμένη, ἢ καὶ ἔτι παλαιοτέρα. σὺ δὲ ἄλλων πολλῶν ἔμπειρος ὢν ταύτης ἄπειρος εἶναι φαίνει, οὐχ ὥσπερ

340 e 4. καιόν: subst. (without τι) as *Gorg.* 518 e καὶ σὺ νῦν ἐμοιέτατον τούτῳ ἐργάζει, or in the exclamation of those initiated in the Orphic-Bacchic mysteries (Dem. *de Cor.* 259), ἔφυγον κακόν, εὗρον ἄμεινον, and in the common phrases, δεινὸν λέγειν (Ar. *Lysistr.* 499), γελοῖον πάσχειν (*Rep.* vii. 536 b) *etc.* — μοί: for the dat. of the agent, see G. 188, 3; H. 769.

5. ἰάμενος . . . ποιῶ: the expression was proverbial, μὴ καλὸν κακῷ ἰᾶσθαι. *Cf.* Hdt. iii. 53 μὴ τῷ κακῷ τὸ κακὸν ἰᾶσθαι, Thuc. v. 65 ἐνεβόησεν ὅτι δεινοῖεν κακὸν κακῷ ἰᾶσθαι, Soph. *Aj.* 362 μὴ κακὸν κακῷ δίδου | ἄχος γὰρ ἄλλου τὸ τέρμα τῆς ἔνης τίθει δὲ καὶ, *adding ill as a remedy to ill, make the woe of thy calamity the greater*, the comic poet in Plut. *Mor.* 523 c τὸ φάρμακόν σου τὴν νόσον μείζω ποιεῖ. The const. is an 'epexegetic asyndeton,' as in 339 e δίκαιος εἶ, 342 d ἀμφισβητοῦντα, 343 e εἰκότα . . . μεταμελόμενον ποιοῦσθαι.

6. πολλὴ ἂν ἀμαθία εἴη κτλ.: it seemed not to occur to Protagoras, 340 e although believing ἀνδρὶ πάσδειας μέγιστον μέρος εἶναι περὶ ἐπῶν δεινὸν εἶναι (*cf.* 339 a), to consider the argument of the poem as a whole, or to refute Socrates by a critical examination and comparison of its parts. Nor again did he cite other passages from his favorite poet, to establish the doctrine of the latter respecting virtue. His method here is the same which he uses elsewhere, *cf.* 324 a αὐτό σε διδάξει and ἔστιν μὴ ἄσπερ θηρίον ἀλογίστως τιμωρεῖται, where, without any scientific treatment of the doctrine of punishment, he falls back upon 'common sense.' This mode of exegesis proved, as it has often done since, to be unsafe, when placed in the hands of an opponent.

12. θεία: *cf.* 315 e, l. 26. — πάλαι: 341 a alludes ironically to Protagoras's claim that the sophist's art was of great antiquity, 316 d. Socrates says that Simonides, like Prodicus, had distinguished synonyms (γνώσθαι, ἡμεῖναι).

St. p. 341.

15 ἐγὼ ἔμπειρος διὰ τὸ μαθητὴς εἶναι Προδίκου τουτουί. καὶ νῦν μοι δοκεῖς οὐ μανθάνειν ὅτι καὶ τὸ χαλεπὸν τοῦτο ἴσως οὐχ οὕτω Σιμωνίδης ὑπελάμβανεν, ὥσπερ σὺ ὑπολαμβάνεις, ἀλλ' ὥσπερ περὶ τοῦ δεινοῦ Πρόδικός με οὑτοσὶ νουθετεῖ ἑκάστοτε, ὅταν ἐπαινῶν ἐγὼ ἢ σὲ ἢ ἄλ-
20 λον τινὰ λέγω ὅτι Πρωταγόρας σοφὸς καὶ δεινός ἐστιν ἀνήρ, ἐρωτᾷ εἰ οὐκ αἰσχύνομαι τἀγαθὰ δεινὰ καλῶν. τὸ b γὰρ δεινόν, φησί, κακόν ἐστιν· οὐδεὶς γοῦν λέγει ἑκάστοτε δεινοῦ πλούτου οὐδὲ δεινῆς εἰρήνης οὐδὲ δεινῆς

341 a 15. ἔμπειρος: sc. εἰμί, for with οὐχ ὥσπερ (in the sense of *while*) the clause with ὥσπερ is always formed independently, preceded by simply οὐχ, while the pred. of the clause with οὐχ, (here ἔμπειρος εἶναι) is supplied from that with ὥσπερ. *Cf. Symp.* 179 e οὐχ (sc. ἐτίμησαν) ὥσπερ Ἀχιλλέα ἐτίμησαν καὶ εἰς μακάρων νήσους ἐνέπεμψαν, 189 c οὐχ (sc. οἷόν τ' ἂν ἐγίγνετο) ὥσπερ νῦν τούτων οὐδὲν γίγνεται περὶ αὐτόν *it would not be as now, when none of these things is done for him.* — Socrates calls himself a pupil of Prodicus also in *Crat.* 384 b, *Meno* 96 d, *Charm.* 163 d, always with special reference to the synonymic art, yet never without implied ridicule of the consequential pedantry with which Prodicus treated his doctrine. Here Socrates makes sport of him and his hobby, by first alluring him to the explanation of χαλεπόν by κακόν, and then suggesting that Prodicus did this in jest and for the sake of testing Protagoras.

18. ὥσπερ: should have been followed by οὕτω καὶ τὸ χαλεπὸν οἷ οἱ Κεῖοι κτλ., but this is postponed by the intervention at some length of the views of Prodicus upon δεινός. Here the clause ὅταν . . . λέγω, as though its main verb (νουθετεῖ) had not already preceded, is followed by another principal verb (ἐρωτᾷ), and then, instead of the expected and postponed clause οὕτω καὶ τὸ χαλεπὸν κτλ., the clause ἴσως οὖν κτλ. is added with anacoluthon. This intervention of a dependent clause between two main clauses is found also in Homer. *Cf.* also Plato *Theaet.* 172 d τοὺς λόγους ἐπὶ σχολῆς ποιοῦνται, ὥσπερ ἡμεῖς νυνὶ τρίτον ἤδη λόγον ἐκ λόγου μεταλαμβάνομεν, οὕτω κἀκεῖνοι *they follow out their reasonings at their leisure, just as we now have taken up a third point, one following naturally from another; so they, etc.*

20. σοφὸς καὶ δεινός: *cf. Theaet.* 154 d οἱ μὲν δεινοὶ καὶ σοφοὶ ἐγώ τε καὶ σὺ ἡμεν, 173 b δεινοί τε καὶ σοφοὶ γεγονότες, ὡς φασιν, Ar. *Ran.* 967 Θεραμένης; σοφὸς γ' ἀνὴρ καὶ δεινὸς εἰς τὰ πάντα, and frequently thus. On account of its derivation, Prodicus will not allow the use of δεινός as a word of commendation (*cf.* colloquial parallels in Eng.); but his theory makes itself ridiculous in thus opposing the living language.

23. δεινοῦ πλούτου κτλ.: *cf. Euthyd.* b 303 a συντυχὴς ὁ Ἡράκλειος καλοῦ λόγου, *Rep.* vi. 509 c Ἀπόλλων, δαιμονίας ὑπερ-

St. p. 341.

ὑγιείας, ἀλλὰ δεινῆς νόσου καὶ δεινοῦ πολέμου καὶ δεινῆς πενίας, ὡς τοῦ δεινοῦ κακοῦ ὄντος. ἴσως οὖν καὶ τὸ χαλεπὸν αὖ οἱ Κεῖοι καὶ ὁ Σιμωνίδης ἢ κακὸν ὑπολαμβάνουσιν ἢ ἄλλο τι ὃ σὺ οὐ μανθάνεις. ἐρώμεθα οὖν Πρόδικον· δίκαιον γὰρ τὴν Σιμωνίδου φωνὴν τοῦτον ἐρωτᾶν. τί ἔλεγεν, ὦ Πρόδικε, τὸ χαλεπὸν Σιμωνίδης; Κακόν, ἔφη. Διὰ ταῦτ' ἄρα καὶ μέμφεται, ἦν δ' ἐγώ, ὦ Πρόδικε, τὸν Πιττακὸν λέγοντα χαλεπὸν ἐσθλὸν ἔμμεναι, ὥσπερ ἂν εἰ ἤκουεν αὐτοῦ λέγοντος ὅτι ἐστὶ κακὸν ἐσθλὸν ἔμμεναι; Ἀλλὰ τί οἴει, ἔφη, λέγειν, ὦ Σώκρατες, Σιμωνίδην ἄλλο ἢ τοῦτο, καὶ ὀνειδίζειν τῷ Πιττακῷ ὅτι τὰ ὀνόματα οὐκ ἠπίστατο ὀρθῶς διαιρεῖν ἅτε Λέσβιος ὢν καὶ ἐν φωνῇ βαρβάρῳ τεθραμμένος; Ἀκούεις δή, ἔφην ἐγώ, ὦ Πρωταγόρα, Προδίκου τοῦδε. ἔχεις τι πρὸς ταῦτα λέγειν; Καὶ ὁ Πρωταγόρας, Πολλοῦ γε δεῖ, ἔφη, οὕτως ἔχειν, ὦ Πρόδικε· ἀλλ' ἐγὼ εὖ οἶδ' ὅτι καὶ Σιμωνίδης τὸ χαλεπὸν ἔλεγεν ὅπερ ἡμεῖς οἱ ἄλλοι, οὐ τὸ κακόν, ἀλλ' ὃ ἂν μὴ ῥᾴδιον ᾖ ἀλλὰ διὰ πολλῶν πραγμάτων γίγνηται. Ἀλλὰ καὶ ἐγὼ οἶμαι, ἔφην, ὦ Πρωταγόρα, τοῦτο λέγειν Σιμωνίδην, καὶ Πρόδικόν γε τόνδε

341 b βουλῇ. For the gen. of exclam., see G. 173, 3; H. 761.

c 32. φωνήν: *dialect*; so below, l. 36 ἐν φωνῇ βαρβάρῳ, and 346 d, l. 61. *Cf. Phaedo* 62 a Ἴττων Ζεύς, ἔφη, τῇ αὐτοῦ φωνῇ εἰπόν (Cebes was a Boeotian).

d 35. διαιρεῖν: this was just Prodicus's art. *Cf.* 340 a.

36. βαρβάρῳ: the Aeolic dialect might, in the time of Socrates and Plato, sound so strange to the Athenians, as to be termed, from an exclusive pride in the Attic literary style, βάρβαρος. *Cf.* Eust. on the *Il.*, p. 270. 36 διεμυθολόγουν (were *ridiculed*) δέ, φασίν, οἱ Ἕλληνες ὡς πολλῷ τῷ ῥ ἐν ταῖς ὁμιλίαις χρώμενοι. διὸ καὶ αὐτοί, καθὰ καὶ Ἥλιοι, βαρβαρόφωνοι ἐκαλοῦντο, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ. In the *Cratylus*, words and forms of the Aeolic and Doric dialects are often called ξενικά, *e.g.* 401 b. This judgment might without improbability be ascribed to Prodicus, who naturally spoke Attic, and to Simonides, whose language varied little from the Attic.

341 c 39. ἐγὼ εὖ οἶδ' ὅτι κτλ.: here again Protagoras leaves it for Socrates to refute this interpretation by citing other words from the poem. See below.

St. p. 341.

εἰδέναι, ἀλλὰ παίζειν καὶ σοῦ δοκεῖν ἀποπειρᾶσθαι, εἰ οἷός τ' ἔσει τῷ σαυτοῦ λόγῳ βοηθεῖν· ἐπεὶ ὅτι γε Σιμωνίδης οὐ λέγει τὸ χαλεπὸν κακόν, μέγα τεκμήριόν ἐστιν εὐθὺς τὸ μετὰ τοῦτο ῥῆμα· λέγει γὰρ ὅτι

θεὸς ἂν μόνος τοῦτ' ἔχοι γέρας.

οὐ δήπου τοῦτό γε λέγων, κακὸν ἐσθλὸν ἔμμεναι, εἶτα τὸν θεὸν φησι μόνον τοῦτο ἂν ἔχειν καὶ τῷ θεῷ τοῦτο γέρας ἀπένειμε μόνῳ· ἀκόλαστον γὰρ ἄν τινα λέγοι Σιμωνίδην Πρόδικος καὶ οὐδαμῶς Κεῖον. ἀλλ' ἅ μοι δοκεῖ διανοεῖσθαι Σιμωνίδης ἐν τούτῳ τῷ ᾄσματι, ἐθέλω σοι εἰπεῖν, εἰ βούλει λαβεῖν μου πεῖραν ὅπως ἔχω, ὃ σὺ 342 λέγεις τοῦτο, περὶ ἑτῶν· ἐὰν δὲ βούλῃ, σοῦ ἀκούσομαι. Ὁ μὲν οὖν Πρωταγόρας ἀκούσας μου ταῦτα λέγοντος, Εἰ

341 d 44. σοῦ: for the prolepsis, see on 313 b, l. 19. — δοκεῖν: redundant, as though οἶμαι had not preceded, although it depends upon the latter. *Cf. Soph.* 225 d δοκῶ μὲν τό γε ἀμελὲς τῶν οἰκείων (*the neglect of one's own affairs*) γιγνόμενον καλεῖσθαι κατὰ γνώμην τὴν ἐμὴν οὐχ ἕτερον ἀδολεσχίᾳ (*nothing else than garrulity*); in *Parm.* 166 c the expression ταὐτὸν φαίνεσθαι πεποιηθέν depends upon the preceding δόξει, Xen. *Hell.* vii. 4. 35 ἐνόμιζον τῷ θεῷ εἴεσθαι μᾶλλον ἂν οὕτω χαρίζεσθαι *they thought they would thus the rather please the god.*

e 49. οὐ δήπου: belongs to the whole following sent. with its internal contradiction emphasized by εἶτα. — εἶτα: see on 319 d, l. 26. The thought of Socrates is, that Simonides cannot first say that it is evil to be good, *and then* characterize this as a prerogative solely of the gods. Here it is immaterial whether Simonides gives his own thought or only quotes Pittacus.

50. τοῦτο γέρας: 344 c reads θεὸς ἂν μόνος τοῦτο ἔχοι τὸ γέρας, but in the passage before us γέρας is pred. *Cf. Symp.* 179 c εἰναριθμήσεις δή τινιν ἴδοσαν τοῦτο γέρας οἱ θεοί, *Apol.* 18 a ἑκαστοῦ μὲν γὰρ αὕτη ἀρετή, Ar. *Eccl.* 658 κἀγὼ ταύτην γνάμην ἐθέμην. 341 e

52. Κεῖον: the people of Ceos were renowned for the vigor and purity of their morals (Brönsted *Reisen in Griechenland*, i. 63 ff., Bursian, Geog. v. Griech. ii. 469 f.). In *Legg.* i. 638 b, the subjection of the Ceians by the Athenians is cited as an illustration of the fact that victory and virtue often lie with opposite camps.

54. εἰ βούλει λαβεῖν κτλ.: Socrates now delivers a discourse of considerable length; but the subject excludes the brevity of question and answer, and moreover he does this with the assent of Protagoras and upon the urgent request of the others (ἀκολουθήσαντων πάνυ). — ὃ σὺ λέγεις τοῦτο: *cf.* 338 e *as you suggest.* Similarly Gorg. 514 e τὸ λεγόμενον δὴ τοῦτο. 342 a

St. p. 342.

σὺ βούλει, ἔφη, ὦ Σώκρατες· ὁ δὲ Πρόδικός τε καὶ ὁ Ἱππίας ἐκελευέτην πάνυ, καὶ οἱ ἄλλοι.

XXVIII. Ἐγὼ τοίνυν, ἦν δ' ἐγώ, ἃ γέ μοι δοκεῖ περὶ τοῦ ᾄσματος τούτου, πειράσομαι ὑμῖν διεξελθεῖν. Φιλοσοφία γάρ ἐστι παλαιοτάτη τε καὶ πλείστη τῶν Ἑλλήνων ἐν Κρήτῃ τε καὶ ἐν Λακεδαίμονι, καὶ σοφισταὶ πλεῖστοι b γῆς ἐκεῖ εἰσίν. ἀλλ' ἐξαρνοῦνται καὶ σχηματίζονται ἀμαθεῖς εἶναι, ἵνα μὴ κατάδηλοι ὦσιν ὅτι σοφίᾳ τῶν Ἑλλήνων περίεισιν, ὥσπερ οὗς Πρωταγόρας ἔλεγε τοὺς σοφιστάς, ἀλλὰ δοκῶσι τῷ μάχεσθαι καὶ ἀνδρείᾳ περιεῖναι, ἡγούμενοι, εἰ γνωσθεῖεν ᾧ περίεισι, πάντας τοῦτο ἀσκήσειν, τὴν σοφίαν. νῦν δὲ ἀποκρυψάμενοι ἐκεῖνο ἐξηπα-

342 a 27. Prodicus and Hippias unite in strongly urging Socrates, perhaps because they hope he will humble their rival.

XXVIII. 2. The reflections of the seven wise men upon government and morals, and their efforts to regulate these, were expressed in sententious proverbs. This tendency to put their thoughts into pithy, striking sentences was a characteristic also of the vigorous Spartans. (Plut. Ἀποφθέγματα Λακωνικά ii. 208 b ff.). Socrates makes use of this, by a keen stroke of wit, to surpass the paradoxical description of Protagoras (316 d), — to which he had already given a thrust (341 a), — by one still more paradoxical, in describing Crete and Lacedaemon, which were in fact strangers to all learning, as the most ancient seats of philosophy. This is also a hit at the imitators of the Spartans.

b 5. γῆς: Sauppe construes this with ἐνεί, citing ὅπου γῆς *Rep.* iii. 403 c, γῆς οὐδαμοῦ ix. 592 a, οὗ γῆς *Menex.* 235 c, and declaring that to connect it with πλεῖστοι is against the *usus loquendi*. Still, this latter const. seems a very natural sequence and climax to πλείστη τῶν Ἑλλήνων, and is maintained by Stallbaum, Kroschel, and Deuschle, and given in Kr. *Spr.* 47, 28, 7, where this passage is cited. — σχηματίζονται: *cf.* *Soph.* 268 a ὡς ἀγνοεῖ ταῦτα, ἃ πρὸς τοὺς ἄλλους ὡς εἰδὼς ἐσχημάτιστο (*he has pretended to know*), Tim. *Lex.* σχηματιζόμενος· προσποιούμενος ἢ συντετάρμενος.

342 b 7. τοὺς σοφιστάς: for the incorporation and assimilation of the antec., see G. 154; H. 995. (The article in such cases is more commonly dropped.) *Cf.* 359 d ἐν οἷς σὺ ἔλεγες τοῖς λόγοις, *Phaedo* 66 e τότε ἡμῖν ἔσται οὗ ἐντεύξομαι φρονήσεως, *Rep.* iii. 402 c οὔτε αὐτοὶ οὔτε οὓς φαμεν ἡμῖν τιθεντέον εἶναι τοὺς φύλακας neither we, nor the guardians whom we say we have to educate.

10. ἐξηπατήκασι: a humorous reference to Protagoras's description in 316 d e, 317 a.

St. p. 342.

τήκασι τοὺς ἐν ταῖς πόλεσι λακωνίζοντας, καὶ οἱ μὲν ὦτά τε κατάγνυνται μιμούμενοι αὐτούς, καὶ ἱμάντας περιε- c
λίττονται καὶ φιλογυμναστοῦσι καὶ βραχείας ἀναβολὰς φοροῦσιν, ὡς δὴ τούτοις κρατοῦντας τῶν Ἑλλήνων τοὺς Λακεδαιμονίους· οἱ δὲ Λακεδαιμόνιοι ἐπειδὰν βούλωνται ἀνέδην τοῖς παρ' αὐτοῖς συγγενέσθαι σοφισταῖς καὶ ἤδη ἄχθωνται λάθρᾳ ξυγγιγνόμενοι, ξενηλασίας ποιούμενοι τῶν τε λακωνιζόντων τούτων καὶ ἐάν τις ἄλλος ξένος ὢν ἐπιδημήσῃ, συγγίγνονται τοῖς σοφισταῖς λανθάνοντες τοὺς ξένους, καὶ αὐτοὶ οὐδένα ἐῶσι τῶν νέων εἰς τὰς ἄλ-

342 b 11. Many Athenians, who hated the democracy and bewailed the decay of morals, hoped to improve matters by an imitation of Spartan ways, and, as usually happens, copied them only externally. They made themselves conspicuous by stern looks, a mustache, a staff and short cloak, and engaged in gymnastics to such an excess, that, contrary to the law of Sparta, they zealously practised boxing. *Cf.* Ar. *Av.* 1281 Λακωνομάνων ἅπαντες ἄνθρωποι τότε, ἐκόμων, ἐνείνων, ἱρράτων ἐσωρέων all men then had a Laconomania; they wore their hair long, went hungry and dirty, acted like Socrates, Dem. LIV. 34 οἱ μεθ' ἡμέραν μὲν ἐσκυθρωπάκασι καὶ λακωνίζειν φασὶ καὶ τρίβωνας ἔχουσι καὶ ἐκλὰς ὑποδέδενται who during the day look gloomy and say they live in the Spartan style, wear short cloaks and single-soled shoes, Plut. *Phoc.* 10 ἦν δέ τις Ἀρχεβιάδης ἀποκαλούμενος Λακωνιστής, πώγωνά τε καθαιμένος ὑπερφυᾶ μεγέθει (wearing a beard of monstrous size) καὶ τρίβωνα φορῶν ἀεὶ καὶ σκυθρωπάζων. The same fashion prevailed also, as it seems (ἐν ταῖς πόλεσι), in other cities.

c 12. ὦτα κατάγνυνται: the ears of the boxers bore the marks of the fists covered with thongs (caestus), *cf.* 342 c *Gorg.* 515 e τῶν τὰ ὦτα κατεαγότων (*sc.* τῶν Λακωνιστῶν). Hence the name ὠτακούστης *a boxer with ears battered by the caestus*, which Bekk. *Anecd.* 116, 32 and Poll. ii. 83 quote from Aristophanes.

13. ἀναβολάς: the Spartans wore, without any chiton, a very short cloak of coarse stuff, often threadbare (τρίβων); the Cynics also adopted this from Socrates, and it became later the usual philosophic dress. From its being thrown about the shoulders, in which manner of wearing it an artistic effect was sought (*cf.* ἐνεβάλλετο ἀναβολάδιον *Theaet.* 175 e), the cloak was called ἀναβολή.

14. ὡς κρατοῦντας: for the acc. abs., see G. 278, 2, N; H. 974. — ὡς δή: scilicet.

17. ξενηλασίας: Pericles says in Thuc. i. 144 ἥν τε καὶ Λακεδαιμόνιοι ξενηλασίαις μή ποτέ σφισι μήτε ἡμῶν μήτε τῶν ἡμετέρων συμμάχων. Schömann *Gr. Alt.* i. 291[2] f.

20. οὐδένα ἐῶσι: *cf.* Aristotle (in Harpocr. p. 166, 12 Ddf.) οὐκ ἐξεῖναί φησιν ἀνεδημεῖν τοῖς Λακεδαιμονίοις, ὅπως μὴ ἐθίζωνται ἄλλων νόμων εἶναι φίλοι. Laws of this kind are laid down also for the ideal state in *Legg.*

St. p. 342.

λας πόλεις ἐξιέναι, ὥσπερ οὐδὲ Κρῆτες, ἵνα μὴ ἀπομαν- d
θάνωσιν ἃ αὐτοὶ διδάσκουσιν. εἰσὶ δὲ ἐν ταύταις ταῖς
πόλεσιν οὐ μόνον ἄνδρες ἐπὶ παιδεύσει μέγα φρονοῦντες,
ἀλλὰ καὶ γυναῖκες. Γνοῖτε δ' ἄν, ὅτι ἐγὼ ταῦτα ἀληθῆ
λέγω καὶ Λακεδαιμόνιοι πρὸς φιλοσοφίαν καὶ λόγους
ἄριστα πεπαίδευνται, ὧδε. εἰ γὰρ ἐθέλει τις Λακεδαι-
μονίων τῷ φαυλοτάτῳ συγγενέσθαι, τὰ μὲν πολλὰ ἐν τοῖς
λόγοις εὑρήσει αὐτὸν φαῦλόν τινα φαινόμενον, ἔπειτα, e
ὅπου ἂν τύχῃ τῶν λεγομένων, ἐνέβαλε ῥῆμα ἄξιον λόγου
βραχὺ καὶ συνεστραμμένον ὥσπερ δεινὸς ἀκοντιστής, ὥστε
φαίνεσθαι τὸν προσδιαλεγόμενον παιδὸς μηδὲν βελτίω.
Τοῦτο οὖν αὐτὸ καὶ τῶν νῦν εἰσὶν οἱ κατανενοήκασι καὶ
τῶν πάλαι, ὅτι τὸ λακωνίζειν πολὺ μᾶλλόν ἐστι φιλοσο-
φεῖν ἢ φιλογυμναστεῖν, εἰδότες ὅτι τοιαῦτα οἷόν τ' εἶναι

342 d xii. 950 d f. — This is the only passage which states the same fact regarding Crete, but the agreement of Spartan and Cretan customs is well known.

22. ἐν ταύταις ταῖς πόλεσιν: *i.e.* in Lacedaemon and the Cretan cities.

24. γυναῖκες: training and custom made the women in Sparta more nearly equal to the men than elsewhere, and their crisp, spirited sayings also were quoted; as of the mother who handed her son his shield, with the words τέκνον ἢ τὰν ἢ ἐπὶ τᾶς, *cf.* Plut. ii. 240 b ff., Λακαινῶν ἀποφθέγματα.

26. εἰ γὰρ ἐθέλει κτλ.: *cf.* 324 a, l. 20.

27. τὰ μὲν πολλά: K. F. Hermann reads τὰ μὲν πρῶτα, but not *at first* simply, but *in general*, the conversation of the Spartan is plain and unpretending, and only occasionally does his keenness dart forth.

e 29. ὅπου ... λεγομένων: "wherever in the conversation it may chance," *i.e.* "at some unexpected point in the conversation." — ἐνέβαλε: the aor. here expresses the action as occurring suddenly and all at once. *Cf. Rep.* x. 609 a οἰκοῦν ὅταν τῷ τι τούτων προσγένηται, κατηρόν τε ποιεῖ ᾧ προσγίνοιτο, καὶ τελευτῶν ὅλον διέλυσε καὶ ἀπέλεσε whenever therefore one of these infects anything, it makes the thing infected evil, and finally wholly destroys it, *Symp.* 188 b (Ἔρως) διαφθείρει τε πολλὰ καὶ ἠδίκησεν. For the gnomic aor., see G. 205, 2; H. 840. — The comparing of words to darts is not infrequent, *cf. Symp.* 210 b ἐγὼ ταῦτα εἰπὼν, καὶ ἀφεὶς ὥσπερ βέλη, τετρῶσθαι αὐτὸν ᾠμην, Hor. *Sat.* i. 4. 79 unde petitum hoc in me jacis?

30. συνεστραμμένον: (opp. to λελυμένον) twisted together, like a bowstring, where a slight distension gives great force, *concise, pithy*. *Cf.* conterta oratio, compressione rerum brevis (Cic. *Brut.* 29).

St. p. 342.

ῥήματα φθέγγεσθαι τελέως πεπαιδευμένου ἐστὶν ἀνθρώ- a
που. τούτων ἦν καὶ Θαλῆς ὁ Μιλήσιος καὶ Πιττακὸς 343
ὁ Μυτιληναῖος καὶ Βίας ὁ Πριηνεὺς καὶ Σόλων ὁ ἡμέ-
τερος καὶ Κλεόβουλος ὁ Λίνδιος καὶ Μύσων ὁ Χηνεύς,
καὶ ἕβδομος ἐν τούτοις ἐλέγετο ὁ Λακεδαιμόνιος Χίλων.
οὗτοι πάντες ζηλωταὶ καὶ ἐρασταὶ καὶ μαθηταὶ ἦσαν
τῆς Λακεδαιμονίων παιδείας καὶ καταμάθοι ἄν τις αὐ-
τῶν τὴν σοφίαν τοιαύτην οὖσαν ῥήματα βραχέα ἀξιομνη-
μόνευτα ἑκάστῳ εἰρημένα· ἃ οὗτοι καὶ κοινῇ ξυνελθόν- b
τες ἀπαρχὴν τῆς σοφίας ἀνέθεσαν τῷ Ἀπόλλωνι εἰς τὸν
νεὼν τὸν ἐν Δελφοῖς, γράψαντες ταῦτα ἃ δὴ πάντες
ὑμνοῦσι, Γνῶθι σαυτόν καὶ Μηδὲν ἄγαν.

Τοῦ δὴ ἕνεκα ταῦτα λέγω; Ὅτι οὗτος ὁ τρόπος ἦν

343 a 38. The memory of Myson early became obscure, and Plato alone numbers him with the seven, although Hipponax (*Frag.* 45 Bgk.) said καὶ Μύσων, ὃν ἀπάλλων ἀνεῖπεν ἀνδρῶν σωφρονέστατον πάντων. It was not certainly known whether he was a native of Etis in Crete, or Chenae on Mt. Oeta, or Chen in Laconia. That Plato did not regard him as a Lacedaemonian, but as a Malian from Chenae, is clear from the following Λακεδαιμόνιος.

42. τοιαύτην: defined by ῥήματα ... εἰρημένα.

b 44. ἀνέθεσαν κτλ.: upon pillars of the pronaos of the Delphic temple were engraved sayings (Paus. x. 24. 1) ascribed by Grecian legend to the seven Sages, and the same spirit pervaded the teaching of Apollo and the wisdom of the Seven (Zeller *Philosophie der Griechen* i. 82 f.). According to Plutarch *Mor.* 385 f, five of them dedicated to Apollo an E (*i.e. ei, thou art*). Diodorus (ix. 9, Did.) relates of Chilon, καθάπερ ἀπαρχὰς τιθέμενος τῷ θεῷ τῆς ἰδίας συνέσεως ἐπέγραψεν ἑπτὰ τινα εἴδη τρία ταῦτα· 'γνῶθι σεαυτόν,' καὶ 'μηδὲν ἄγαν,' καὶ τρίτον 'ἐγγύα, πάρα δ' ἄτα.' 343 b

46. ὑμνοῦσι: see on 317 a.

47. τοῦ δὴ ... λέγω; Plato likes to enliven his discourse by such questions. *Cf. Gorg.* 457 e for this same phrase; *Meno* 97 e πρὸς τί οὖν δὴ λέγω ταῦτα; *Phaedr.* 235 c τόθεν δὴ τεκμαιρόμενος λέγω; *Symp.* 178 d λέγω δὲ δὴ τί τοῦτο; *Apol.* 40 b τί οὖν αἴτιον εἶναι ὑπολαμβάνω. So frequently in Demosthenes. — ὅτι: not *because*, but "in order to show *that*." — ὁ τρόπος τῆς φιλοσοφίας: these words form together a single conception, upon which τῶν παλαιῶν, emphasized by its position, depends. Similarly 345 a ἡ τῆς θερατείας μάθησις. On the other hand, *Rep.* i. 329 b ἴσως δὲ καὶ τὰς τῶν εἰκείων προσηλικιώτεως (contumelious treatment) τοῦ γήρως ὑβρίσονται, the words τὰς προσηλικιώτεως τοῦ γήρως are to be connected, and τῶν εἰκείων depends upon them.

τῶν παλαιῶν τῆς φιλοσοφίας, βραχυλογία τις Λακωνική. καὶ δὴ καὶ τοῦ Πιττακοῦ ἰδίᾳ περιεφέρετο τοῦτο τὸ ῥῆμα ἐγκωμιαζόμενον ὑπὸ τῶν σοφῶν, τὸ χαλεπὸν ἐσθλὸν ἔμμεναι. ὁ οὖν Σιμωνίδης, ἅτε φιλότιμος ὢν ἐπὶ σοφίᾳ, ἔγνω ὅτι εἰ καθέλοι τοῦτο τὸ ῥῆμα, ὥσπερ εὐδοκιμοῦντα ἀθλητήν, καὶ περιγένοιτο αὐτοῦ, αὐτὸς εὐδοκιμήσει ἐν τοῖς τότε ἀνθρώποις. εἰς τοῦτο οὖν τὸ ῥῆμα καὶ τούτου ἕνεκα, τούτῳ ἐπιβουλεύων κολοῦσαι αὐτό, ἅπαν τὸ ᾆσμα πεποίηκεν, ὡς μοι φαίνεται.

XXIX. Ἐπισκεψώμεθα δὴ αὐτὸ κοινῇ ἅπαντες, εἰ ἄρα ἐγὼ ἀληθῆ λέγω. Εὐθὺς γὰρ τὸ πρῶτον τοῦ ᾄσματος μανικὸν ἂν φανείη, εἰ βουλόμενος λέγειν ὅτι ἄνδρα ἀγαθὸν γενέσθαι χαλεπόν, ἔπειτα ἐνέβαλε τὸ μέν. τοῦτο γὰρ οὐδὲ πρὸς ἕνα λόγον φαίνεται ἐμβεβλῆσθαι, ἐὰν μή τις ὑπολάβῃ πρὸς τὸ τοῦ Πιττακοῦ ῥῆμα ὥσπερ ἐρίζοντα

342 b c

49. ἰδίᾳ: *in particular.*

51. ὅτι φιλότιμος ὤν: this, as well as ὥσπερ . . . ἀθλήτην below, contains a hit at Protagoras. *Cf.* 335 a.

52. καθέλοι: *cf.* 344 c. So Theocritus xxii. 115 says of Polydeuces, who has vanquished Amycus in a boxing match, τῶς δ' ἂρ δὴ Διὸς υἱὸς ἀδηφάγον (*gluttonous*) ἄνδρα καθεῖλεν;

55. τούτῳ: some take as depending upon ἐπιβουλεύων, anticipating κολοῦσαι αὐτό, but it is dat. of means, "through the making of the poem." — ἐπιβουλεύων: with the inf. means *endeavor stealthily, plan* to do a thing *unobserved. Cf. Symp.* 203 b ἡ Πενία ἐπιβουλεύουσα τοῖς τοῦ ἔρωτος πατράσιν, *Rep.* viii. 566 b βιαίᾳ δὴ θανάτῳ ἐπιβουλεύουσαν ἀνοσιουργίαν λάθρᾳ (τὸν πάτερα). — κολοῦσαι: often has something exalted as its obj., *cf.* Hdt. vii. 20. ὁ φθόνος γὰρ ὁ θεὸς τὰ ὑπερέχοντα κολούων. — Protagoras, professing to adhere to the ethical question raised by Socrates, while merely changing its mode of treatment, has raised a wholly different one (*cf.* 339 a b). What Socrates thinks of the value of a discussion of the poets, he indicates below (*cf.* 347 c). Now, therefore, meeting Protagoras on his own ground, and assuming that in the examination of Simonides's poem a discussion of virtue is the real end, he purposes to find the true doctrine in the poem; and, as the first step, discovers in it a polemic aim. If this is contrary to the view of Protagoras, the latter has full opportunity to refute it (see on 347 a).

342 c

XXIX. 5. εὐθύ . . . λέγω: *wholly without reason, with no purpose whatever.* See on 328 a, 351 e. *Cf.* 344 a. — Simonides inserted μέν, which always involves an antithesis, which is found here, acc. to Socrates, between γενέσθαι and ἔμμεναι.

d

λέγειν τὸν Σιμωνίδην, λέγοντος τοῦ Πιττακοῦ ὅτι Χαλεπὸν ἐσθλὸν ἔμμεναι, ἀμφισβητοῦντα εἰπεῖν ὅτι Οὔκ, ἀλλὰ γενέσθαι μὲν χαλεπὸν ἄνδρα ἀγαθόν ἐστιν, ὦ Πιττακέ, ὡς ἀληθῶς, — οὐκ ἀληθείᾳ ἀγαθόν, οὐκ ἐπὶ τούτῳ λέγει τὴν ἀλήθειαν, ὡς ἄρα ὄντων τινῶν τῶν μὲν ὡς ἀληθῶς ἀγαθῶν, τῶν δὲ ἀγαθῶν μέν, οὐ μέντοι ἀληθῶς· εὔηθες γὰρ τοῦτό γε φανείη ἂν καὶ οὐ Σιμωνίδου· ἀλλ' ὑπερβατὸν δεῖ θεῖναι ἐν τῷ ᾄσματι τὸ ἀλαθέως, οὑτωσί πως ὑπειπόντα τὸ τοῦ Πιττακοῦ, ὥσπερ ἂν εἰ θεῖμεν αὐτὸν λέγοντα τὸν Πιττακὸν καὶ Σιμωνίδην ἀποκρινόμενον, εἰπόντα Ὦ ἄνθρωποι, χαλεπὸν ἐσθλὸν ἔμ-

342 d

7. λέγοντος τοῦ Πιττακοῦ κτλ.: epexegetical of πρὸς τὸ τοῦ Πιττακοῦ κτλ.; hence the asyndeton. See on 340 e.

9. γενέσθαι μέν: should strictly have been followed by εἶναι δέ or θαμέναι δέ (*cf.* 344 b, 345 c), but it is followed in 344 a only by οὐ γὰρ εἶναι κτλ. with anacoluthon.

e

11. τὴν ἀλήθειαν: *i.e.* the word ἀληθῶς or ἀλήθεια. In Greek, as in Latin, words which are referred to merely as words, often conform to the const. of the sentence. *Cf.* 341 a περὶ τοῦ θεοῦ, and the freq. τὸ χαλεπόν.

13. This style of exegesis should commend itself to Protagoras, for Socrates has borrowed it from him. See on 340 e. "To be sure, the position of the words would naturally lead one to construe ἀληθέως with ἀγαθόν, but this distinction of two kinds of ἀγαθός would indicate a false view, and therefore be unworthy of Simonides." To make Simonides say, therefore, what it is manifest to Socrates that he should say, is readily accomplished by the convenient change which follows. The argument is ironical.

343 e

14. ὑπερβατόν: occurs here for the first time in the familiar grammatical sense. It is found also in Anaxim. *Rhet.* 30 (p. 60, 24 Sp.) (σαφῶς δηλώσομεν) ἀπὸ τῶν ὀνομάτων, ἐὰν μὴ ὑπερβατῶς αὐτὰ τιθῶμεν, ἀλλ' ἀεὶ τὰ ἐχόμενα ἐξῆς τάττωμεν, [Longin.] περὶ ὕψους, chap. 22 τῆς δὲ αὐτῆς ἰδέας καὶ τὰ ὑπερβατὰ θετέον· ἔστι δὲ λέξεων ἢ νοήσεων ἐκ τοῦ κατ' ἀκολουθίαν κεκινημένη τάξις (*an arrangement varying from the regular order*). Here, however, ὑπερβατόν is an adj., and θεῖναι is *consider, assume,* as θεῖμεν following.

15. ὑπειπόντα: *premise as a starting-point,* see on 339 d. *Cf.* Ar. *Vesp.* 54 f. φέρε νυν καταλίπω τοῖς θεαταῖς τὸν λόγον, ἀλλ' ἐγὼ ὑπειπὼν πρῶτον αὐτοῖσιν ταδὶ *come now, let me declare the argument to the audience, first premising to them some few matters as follows,* Dem. *de Cor.* 60 τούτων ὑφίξω λέγων, τοσοῦτον ὑπειπών, XXIII. 53 γέγραφεν, οὐδὲν ὑπειπών, ὅπως ἂν τις ἀνοσιήσῃ, τὴν τιμωρίαν ἣν προβέβουλεν *he has proposed private vengeance, without premising under what circumstances one may kill justifiably.*

17. ἀποκρινόμενον: repeats λέγοντα above, without τὸν μέν. See on 330 a.

St. p. 343.

μεναι, τὸν δὲ ἀποκρινόμενον ὅτι Ὦ Πιττακέ, οὐκ ἀληθῆ
λέγεις· οὐ γὰρ εἶναι ἀλλὰ γενέσθαι μέν ἐστιν ἄνδρα ἀγα- 344
θόν, χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου
τετυγμένον, χαλεπὸν ἀλαθέως. οὕτω φαίνεται πρὸς λόγον τὸ μέν ἐμβεβλημένον καὶ τὸ ἀλαθέως ὀρθῶς ἐπ' ἐσχάτῳ κείμενον. καὶ τὰ ἐπιόντα πάντα τούτῳ μαρτυρεῖ, ὅτι οὕτως εἴρηται. πολλὰ μὲν γὰρ ἔστι καὶ περὶ ἑκάστου τῶν ἐν τῷ ᾄσματι εἰρημένων ἀποδεῖξαι ὡς εὖ πεποίηται· πάνυ γὰρ χαριέντως καὶ μεμελημένως ἔχει· b
ἀλλὰ μακρὸν ἂν εἴη αὐτὸ οὕτω διελθεῖν. ἀλλὰ τὸν τύπον αὐτοῦ τὸν ὅλον διεξέλθωμεν καὶ τὴν βούλησιν, ὅτι παντὸς μᾶλλον ἔλεγχός ἐστι τοῦ Πιττακείου ῥήματος διὰ παντὸς τοῦ ᾄσματος.

XXX. Λέγει γὰρ μετὰ τοῦτο ὀλίγα διελθών, ὡς ἂν εἰ λέγοι λόγον, ὅτι Γενέσθαι μὲν ἄνδρα ἀγαθὸν χαλεπὸν ἀλαθέως, οἷόν τε μέντοι ἐπί γε χρόνον τινά· γενόμενον δὲ διαμένειν ἐν ταύτῃ τῇ ἕξει καὶ εἶναι ἄνδρα ἀγαθόν, ὡς

344 a 19. μέν: so placed after the preceding εἶναι that the force of μήν, in which it originated, still rings in it. *Cf.* 361 e τῶν μὲν τηλικούτων.

21. τρὸς λόγον: *with reason*, coordinate with ὀρθῶς. See on 351 e, l. 25.

b 23. τόνου: *form, general plan*, freq. contrasted with exact description. *Cf. Rep.* iii. 414 a ὡς ἐν τύπῳ, μὴ δι' ἀκριβείας, εἰρῆσθαι *to speak generally, without aiming at exactness*, *Phil.* 61 a τὸ τοίνυν ἀγαθὸν ἥτοι σαφῶς, ἢ καί τινα τόνον αὐτοῦ λαμπρὸν *then we must apprehend the good clearly, or at least get some general idea of it.*

29. ἔλεγχος: pred., the subj. being ἡ βούλησις.

XXX. 1. λέγει γάρ: refers to the words already quoted 339 c οὐδέ μοι 344 b ἐμμελέως . . . ἔμμεναι, for after these came immediately, acc. to 341 e, θεὸς ἂν μόνος τοῦτ' ἔχοι γέρας, and then, evidently, the words ἄνδρα δ' οὐκ ἔστι κτέ. Consequently ὀλίγα διελθών can refer only to the lost lines which stood between the opening words ἔνθ' ἀγαθὸν . . . τετυγμένον and the words οὐδέ μοι ἐμμελέως. Protagoras refers to the same lines, when he says in 339 d ὀλίγον δὲ τοῦ ποιήματος εἰς τὸ πρόσθεν προελθών. — ὡς ἂν εἰ λέγοι λόγον: in order to make clear that which the poet has said, it is converted into periodic *prose*. For the same purpose, after using the words ὀλίγα διελθών, Socrates starts anew with the opening of the poem.

St. p. 344.

ς σὺ λέγεις, ὦ Πιττακέ, ἀδύνατον καὶ οὐκ ἀνθρώπειον, ●
ἀλλὰ θεὸς ἂν μόνος τοῦτο ἔχοι τὸ γέρας,
ἄνδρα δ' οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι,
ὃν ἀμήχανος συμφορὰ καθέλῃ.
τίνα οὖν ἀμήχανος συμφορὰ καθαιρεῖ ἐν πλοίου ἀρχῇ; δῆλον ὅτι οὐ τὸν ἰδιώτην· ὁ μὲν γὰρ ἰδιώτης ἀεὶ καθῄρηται. ὥσπερ οὖν οὐ τὸν κείμενόν τις ἂν καταβάλοι, ἀλλὰ τὸν μὲν ἑστῶτά ποτε καταβάλοι ἄν τις ὥστε κείμενον ποιῆσαι, τὸν δὲ κείμενον οὔ, οὕτω καὶ τὸν εὐμήχανον d
ὄντα ποτὲ ἀμήχανος ἂν συμφορὰ καθέλοι, τὸν δὲ ἀεὶ ἀμήχανον ὄντα οὔ· καὶ τὸν κυβερνήτην μέγας χειμὼν ἐπιπεσὼν ἀμήχανον ἂν ποιήσειε, καὶ γεωργὸν χαλεπὴ ὥρα ἐπελθοῦσα ἀμήχανον ἂν θείη, καὶ ἰατρὸν ταὐτὰ ταῦτα. τῷ μὲν γὰρ ἐσθλῷ ἐγχωρεῖ κακῷ γενέσθαι, ὥσπερ καὶ παρ' ἄλλου ποιητοῦ μαρτυρεῖται τοῦ εἰπόντος

344 e 5. ὦ Πιττακέ: shows that dir. disc. follows ὅτι.

7. μὴ οὐ . . . ἔμμεναι: for the double neg. after οὐκ ἔστι, see G. 263, 1, n.; H. 1034. See on 352 d. — Socrates for the present passes unnoticed the use of ἔμμεναι instead of γενέσθαι, a distinction which Simonides had not at all in mind. The true thought of the poet, Socrates gives in e below.

8. καθέλῃ: *cf.* 343 c.

9. One is tempted to ascribe ἐν πλοίου ἀρχῇ to Simonides, but *cf.* in 344 e the introduction of εἰς γράμματα as an illustrative example, without οἷον or other indication that it is Socrates's illustration.

10. ἰδιώτην: on the doctrine that the change to a condition presupposes the opposite condition, assumed in this argument of Socrates, *cf. Phaedo* 70 e ἀναγκαῖον ἔσται τι ἐναντίον, μεταβαλλόμενον ἄλλοθεν αὐτὸ γίγνεσθαι ἢ ἐκ τοῦ αὐτῷ ἐναντίον *it is necessary that whatever thing has an opposite be generated from no other source than from that opposite.* 344 e

12. ποτέ: to be connected with καταβάλοι, and then with καθέλοι. *Cf.* 345 a f.

13. τὸν δὲ κείμενον οὔ: repeats for d emphasis what had already been said before ἀλλά. *Cf. Parm.* 155 d ἐπειδὴ δὲ χρόνου μετέχει τὸ ἕν (*since the one partakes of time*), ἆρ' οὐκ ἀνάγκη καὶ τοῦ ποτὲ (*the past*) μετέχειν καὶ τοῦ ἔπειτα (*the future*) καὶ τοῦ νῦν, εἴ περ χρόνου μετέχει; *Gorg.* 521 d οὐ πρὸς χάριν λέγων ἀλλὰ πρὸς τὸ βέλτιστον, οὐ πρὸς τὸ ἥδιστον.

17 ταὐτὰ ταῦτα: *in this same way. Cf. Meno* 90 d, ταὐτὸ τοῦτο *Symp.* 178 e and frequently.

18. γενέσθαι: see on c above. *Cf.* also e and 345 a b below.

19. ἄλλου ποιητοῦ: Xen. *Mem.* i. 2. 20 quotes the verse without naming

St. p. 344.

αὐτὰρ ἀνὴρ ἀγαθὸς τοτὲ μὲν κακός, ἄλλοτε δ' ἐσθλός·

τῷ δὲ κακῷ οὐκ ἐγχωρεῖ γενέσθαι, ἀλλ' ἀεὶ εἶναι ἀνάγκη. c
ὥστε τὸν μὲν εὐμήχανον καὶ σοφὸν καὶ ἀγαθὸν ἐπειδὰν ἀμήχανος συμφορὰ καθέλῃ, οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι· σὺ δὲ φῄς, ὦ Πιττακέ, χαλεπὸν ἐσθλὸν ἔμμεναι· τὸ δ' ἐστὶ γενέσθαι μὲν χαλεπόν, δυνατὸν δέ, ἔμμεναι δὲ ἀδύνατον.

πράξας μὲν γὰρ εὖ πᾶς ἀνὴρ ἀγαθός,
κακὸς δ' εἰ κακῶς.

τίς οὖν εἰς γράμματα ἀγαθὴ πρᾶξίς ἐστι, καὶ τίς ἄνδρα 345
ἀγαθὸν ποιεῖ εἰς γράμματα; δῆλον ὅτι ἡ τούτων μάθησις. τίς δὲ εὐπραγία ἀγαθὸν ἰατρὸν ποιεῖ; δῆλον ὅτι ἡ τῶν καμνόντων τῆς θεραπείας μάθησις. κακὸς δὲ

344 d the author. Perhaps it was an elegiac poet; in any case the poem had a gnomic character. Sophocles knew the verse, since, in *Ant.* 305, he makes the Chorus say, *σοφόν τι τὸ μηχανᾶσθαι | τέχνας ὑπὲρ ἐλπίδ' ἔχων | ποτὲ μὲν κακόν, ἄλλοτ' ἐπ' ἐσθλὸν ἕρπει one having inventive skill in a remarkable degree, beyond what one would expect, now falls into disaster, again attains to prosperity.* See Bergk *Poet. Lyr.* iii. 735⁴.

c 23. *σοφόν, ἀγαθόν*: in this whole exegesis Socrates keeps in view his main argument. Here, as developing *εὐμήχανον, σοφόν* is inserted as the characteristic mark of true excellence, and *ἀγαθόν* in order to emphasize the contrast with the predicate.

26. *τὸ δέ*: strictly *in relation to this however*, then *in fact however, whereas*. Very frequent in Plato. *Cf. Apol.* 23 a *οἴονται γάρ με αὐτὸν εἶναι σοφόν· τὸ δὲ κινδυνεύει τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι.*

28. *πράξας*: "according as any man has done good or bad deeds, is he reckoned a good or a bad man." An uninterrupted *being* is not required as the basis of the judgment. Socrates, however, going beyond the meaning of the poet, applies the word to the *inward condition, εὖ πράττει* one *fares well, κακῶς πράττει* one *fares ill*, and thus is able to push the inquiry as to the cause of this good or ill condition.—*μέν*: does not fit into the metrical scheme (see Introd. p. 18), but Attic usage allows its insertion here by Socrates in order to bring out the thought more clearly.

344 e

29. *εἰ*: *sc. ἔπραξε*.

31. *ἡ ... μάθησις*: see on 343 b, l. 47. Here Socrates finds his doctrine, that virtue is knowledge. 345 a

33. *κακὸς δὲ κακῶς*: (*sc. πράξας*). Socrates follows the sense, repeating the words of the poet in order to explain them. So he says also *τὸ γήρας* 344 e, while Simonides (341 e) has *γήρας*, and *ἐξαρκεῖ ἄν* 346 d for *ἐξαρκεῖ ὃς ἄν* 346 c.

St. p. 345.

κακῶς. τίς οὖν ἂν κακὸς ἰατρὸς γένοιτο; δῆλον ὅτι ᾧ πρῶτον μὲν ὑπάρχει ἰατρῷ εἶναι, ἔπειτα ἀγαθῷ ἰατρῷ. οὗτος γὰρ ἂν καὶ κακὸς γένοιτο, ἡμεῖς δὲ οἱ ἰατρικῆς ἰδιῶται οὐκ ἄν ποτε γενοίμεθα κακῶς πράξαντες οὔτε ἰατροὶ οὔτε τέκτονες οὔτε ἄλλο οὐδὲν τῶν τοιούτων· ὅστις b
δὲ μὴ ἰατρὸς ἂν γένοιτο κακῶς πράξας, δῆλον ὅτι οὐδὲ κακὸς ἰατρός. οὕτω καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ γένοιτ' ἄν ποτε καὶ κακὸς ἢ ὑπὸ χρόνου ἢ ὑπὸ πόνου ἢ ὑπὸ νόσου ἢ ὑπὸ ἄλλου τινὸς περιπτώματος· αὕτη γὰρ μόνη ἐστὶ κακὴ πρᾶξις, ἐπιστήμης στερηθῆναι· ὁ δὲ κακὸς ἀνὴρ οὐκ ἄν ποτε γένοιτο κακός· ἔστι γὰρ ἀεί· ἀλλ' εἰ μέλλει κακὸς γενέσθαι, δεῖ αὐτὸν πρότερον ἀγαθὸν γενέσθαι. ὥστε καὶ τοῦτο τοῦ ῥήσματος πρὸς τοῦτο τείνει, ὅτι εἶναι μὲν ἄνδρα ἀγαθὸν οὐχ οἷόν τε, διατελοῦντα c
ἀγαθόν, γενέσθαι δὲ ἀγαθὸν οἷόν τε, καὶ καλόν γε τὸν αὐτὸν τοῦτον· ἐπὶ πλεῖστον δὲ καὶ ἄριστοί εἰσιν οὓς οἱ θεοὶ φιλῶσιν.

345 a 37. *κακῶς πράξαντες*: not attrib. of *ἰατροί*, which would require *πράττοντες*, and *ὅστις γάρ* instead of *ὅστις δέ* following, but circumstantial partic. of means with *ἂν γενοίμεθα*.

b 39. *ἄν*: keeps in view the fact that the prot. *ὅστις μὴ γένοιτο* has just been reached as an apod. The first statement is *ἡμεῖς, κακῶς πράξαντες, οὐκ ἂν ἰατροὶ γενοίμεθα*. Then, starting again with this result, and selecting a single case, we have *ὅστις* (equiv. to *εἴ τις*) *μὴ ἰατρὸς ἂν γένοιτο κτλ.* See GMT. 63, 2.

42. *αὕτη γὰρ κτλ.*: the causes of the deterioration which are here mentioned are all of such a sort that loss of knowledge is occasioned by them. See on 344 e, l. 23.

c 47. *διατελοῦντα*: is sometimes joined with an adj. without *ὄν* (Isocr. II. 4, Isae. VIII. 44, not so elsewhere in Plato). Here, however, after *εἶναι ἀγαθόν*, the *ἀγαθόν* is simply repeated, in order to add the further limitation *διατελοῦντα* (*that is, permanently* good). Hence *ὄντα* would be out of place. 345 e

49. *ἐπὶ πλεῖστον*: contrasted with *διατελοῦντα* means *for the longest time. Cf.* Thuc. i. 2. 2 *τὴν γοῦν Ἀττικὴν ἀπὸ τοῦ ἐπὶ πλείστου (from the remotest period) ἀνθρωποι ἔχουν οἱ αὐτοὶ ἀεί*, vi. 54. 5 *καὶ ἐτυράννευσαν ἐπὶ πλεῖστον δὴ τόραννοι οὗτοι ἀρετὴν and these for the longest time as* (*i.e.* longer than any other) *tyrants practised virtue.* So frequently in Thucydides *ἐπὶ πολύ* is *long. Cf.* 328 d above. — That the words belong to the poet is evident from the loose connection with the preceding context and the abandon-



St. p. 350.

τούτοις, λέγειν ὡς κατὰ τὴν ἐμὴν ὁμολογίαν ἡ σοφία ἐστὶν ἰσχύς. ἐγὼ δὲ οὐδαμοῦ οὐδ' ἐνταῦθα ὁμολογῶ τοὺς δυνατοὺς ἰσχυροὺς εἶναι, τοὺς μέντοι ἰσχυροὺς δυνατούς· οὐ γὰρ ταὐτὸν εἶναι δύναμίν τε καὶ ἰσχύν, ἀλλὰ τὸ μὲν καὶ 351
ἀπὸ ἐπιστήμης γίγνεσθαι, τὴν δύναμιν, καὶ ἀπὸ μανίας τε καὶ ἀπὸ θυμοῦ, ἰσχὺν δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν σωμάτων. οὕτω δὲ κἀκεῖ οὐ ταὐτὸν εἶναι θάρσος τε καὶ ἀνδρείαν· ὥστε συμβαίνει τοὺς μὲν ἀνδρείους θαρραλέους εἶναι, μὴ μέντοι τούς γε θαρραλέους ἀνδρείους
60 πάντας· θάρσος μὲν γὰρ καὶ ἀπὸ τέχνης γίγνεται ἀνθρώποις καὶ ἀπὸ θυμοῦ τε καὶ ἀπὸ μανίας, ὥσπερ ἡ δύνα- b

350 e that (b) *οἱ θαρραλέοι οὗτοι* (*sc. οἱ ἄνευ ἐπιστήμης*) *οὐκ ἀνδρεῖοί εἰσιν*, and Socrates has drawn the inference (c) *ἡ σοφία ἂν ἀνδρεία εἴη* (*i.e. ἐστί*). Now, however, Protagoras declares that *οἱ ἐπιστήμονες δυνατώτεροί εἰσι τῶν μὴ ἐπισταμένων*, then, omitting the needful premise *οἱ ἄνευ ἐπιστήμης δυνατοὶ οὐκ ἰσχυροί εἰσι*, which of course no one would think of asserting, he would have Socrates draw the conclusion *ἡ σοφία ἐστὶν ἰσχύς*.

351 a 51. *τούτοις*: does not depend upon *τοῖς αὐτοῖς*, but *τοῖς αὐτοῖς τούτοις* simply repeats and strengthens *τούτῳ τῷ τρόπῳ* above.

57. *εἶναι*: depends, like *οὐ γὰρ ταὐτὸν εἶναι* above, upon *ὁμολογῶ*.

60 ff. Protagoras attempts to controvert the interchange, which he imputes to Socrates, of *θάρσος* and *ἀνδρεία*, by instituting an analogy between them and the two terms *δύναμις* and *ἰσχύς*, which like them, if the derivation of the consequents (*γίγνεσθαι* ll. 55, 60) is immediate, stand in the relation of genus and species, *viz.*: *θάρσος* : *ἀνδρεία* = *δύναμις* : *ἰσχύς*. The two antecedents he derives from *τέχνη* and *ἐπιστήμη* respectively, and from 351 a
θυμός and *μανία* in common; the two consequents, from *φύσις*, and respectively from *αὐτροφία τῆς ψυχῆς* and *εὐτροφία τοῦ σώματος*. The difficulty is to ascertain the exact nature of these relations asserted to be equal, to identify the generic marks in both genus and species, and, in any view, to harmonize this with his previous statements. As all *ἀνδρεῖοι* are *θαρραλέοι*, and all *ἰσχυροὶ* are *δυνατοί*, the source of *ἀνδρεία* must be found in that of *θάρσος*, and of *ἰσχύς* in that of *δύναμις*. But it is difficult, for instance, to indentify *φύσις*, one source of *ἀνδρεία*, with either *τέχνη* or *θυμός*, two of the sources of *θάρσος*, — leaving *μανία* out of the question. The *τὰ καί*, moreover, connect *θυμός* so closely with *μανία* as almost to force us to take the former in a bad sense, *anger, passion*. Again, it is sufficiently difficult to identify *φύσις*, one source of *ἰσχύς*, with *ἐπιστήμη* or *θυμός*, sources of *δύναμις*, but the attempt to identify with either of these the other source of *ἰσχύς*, *viz.* *εὐτροφία τοῦ σώματος*, amounts to an absurdity.

St. p. 351.

μις, ἀνδρεία δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν ψυχῶν γίγνεται.

